GREEK SERIES · VOLUME 68

Theseus and Romulus

Plutarch

ΘΗΣΕΥΣ · ΡΩΜΥΛΟΣ

Theseus and Romulus

With Lycurgus and Numa, and Solon and Publicola

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 68 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Perrin's Loeb Plutarch

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words Perrin brackets are not printed.

CONTENTS

THESEUS

I · Pittheus' Grandson 11
II · The Road to Athens 17
III · The Robbers Punished 24
IV · The Tribute to Crete 29
V · Ariadne and the Labyrinth 35
VI · The Return and the Union of Attica 45
VII · The Amazons 53
VIII · Peirithous and Helen 62
IX · Exile and the Bones of Theseus 71

ROMULUS

I · The Name of Rome 81
II · The Twins Found 89
III · The Founding 99
IV · The Sabine Women 108
V · Tarpeia and the Sabine War 120
VI · Laws, Festivals, and Tatius' Death 133
VII · The Disappearance of Romulus 143

COMPARISON OF THESEUS AND ROMULUS

I · Comparison of Theseus and Romulus 163

LYCURGUS

I · The Regent of Sparta 175
II · The Rhetra and the Land 185
III · Iron Money and the Common Meals 195
IV · Marriage and the Raising of Children 205
V · The Boys and Their Speech 219
VI · Song and War 229
VII · The Citizens and the Krypteia 238
VIII · The Lawgiver's End 247

NUMA

I · Numa Chosen King 259
II · The Peaceful King 271
III · The Priests and the Vestals 283
IV · The Shields and the Precepts 294
V · The Calendar and the Peace 306
VI · Numa's Death and His Books 316

COMPARISON OF LYCURGUS AND NUMA

I · Comparison of Lycurgus and Numa 325

SOLON

I · Solon's Youth and the Sages 341
II · Anacharsis, Thales, and Salamis 349
III · Salamis, Cirrha, and Epimenides 358
IV · The Shaking-Off of Burdens 366
V · Classes, Councils, and Laws 378
VI · More of Solon's Laws 387
VII · Travels and Croesus 396
VIII · Peisistratus and Solon's Old Age 407

PUBLICOLA

I · Valerius and the Conspiracy 419
II · Brutus' Sons 427
III · Publicola 435
IV · The Chariot, the Capitol, and Cocles 445
V · Mucius, Cloelia, and Porsena 454
VI · Appius Clausus and Publicola's Death 462

COMPARISON OF SOLON AND PUBLICOLA

I · Comparison of Solon and Publicola 473

PLUTARCH

ΘΗΣΕΥΣ

Theseus

As geographers mark the unknown lands at the edges of their maps, Plutarch tells Sossius Senecio, so the age before history belongs to fable; he sets Theseus, founder of Athens, beside Romulus, founder of Rome. Both were born in secret and thought sons of gods, both strong and wise, and both met trouble at home and the hatred of their citizens. Theseus descends from Pittheus of Troezen. Aegeus, warned by an oracle, lies with Aethra and leaves a sword and sandals under a great rock for the son she may bear.

῞Ωσπερ ἐν ταῖς γεωγραφίαις, ὦ Σόσσιε Σενεκίων, οἱ ἱστορικοὶ 1
just-as in the geographies O Sossius Senecio the historians
τὰ διαφεύγοντα τὴν γνῶσιν αὐτῶν τοῖς ἐσχάτοις
the(-things) escaping the knowledge of-them in-the farthest
μέρεσι τῶν πινάκων πιεζοῦντες, αἰτίας παραγράφουσιν ὅτι
parts of-the maps squeezing-in causes they-write-beside that
"Τὰ δ' ἐπέκεινα θῖνες ἄνυδροι καὶ θηριώδεις" ἢ
the(-regions) and beyond (are)-sands waterless and full-of-beasts or
"πηλὸς ἀϊδνὴς" ἢ "Σκυθικὸν κρύος" ἢ "πέλαγος πεπηγός,"
mud invisible or Scythian frost or sea frozen
οὕτως ἐμοὶ περὶ τὴν τῶν βίων τῶν παραλλήλων γραφήν,
so for-me about the of-the lives the parallel writing
τὸν ἐφικτὸν εἰκότι λόγῳ καὶ βάσιμον ἱστορίᾳ πραγμάτων
the attainable by-probable reasoning and accessible to-history of-events
ἐχομένῃ χρόνον διελθόντι, περὶ τῶν ἀνωτέρω καλῶς
clinging time having-gone-through about the(-things) further-back well
εἶχεν εἰπεῖν· "Τὰ δ' ἐπέκεινα τερατώδη καὶ τραγικὰ
it-was(-fitting) to-say the(-things) and beyond (are)-marvelous and tragic
ποιηταὶ καὶ μυθογράφοι νέμονται, καὶ οὐκέτ' ἔχει πίστιν
poets and mythographers occupy and no-longer has credibility
οὐδὲ σαφήνειαν." ἐπεὶ δὲ τὸν περὶ Λυκούργου τοῦ νομοθέτου
nor clearness since and the about Lycurgus the lawgiver

καὶ Νομᾶ τοῦ βασιλέως λόγον ἐκδόντες, ἐδοκοῦμεν οὐκ
and Numa the king account having-published we-thought not
ἂν ἀλόγως τῷ Ῥωμύλῳ προσαναβῆναι, πλησίον τῶν
— unreasonably — to-Romulus to-go-up-further near the
χρόνων αὐτοῦ τῇ ἱστορίᾳ γεγονότες, σκοποῦντι δέ μοι
times of-him by-the history having-come considering and to-me

Τοιῷδε φωτί (κατ' Αἰσχύλον) τίς ξυμβήσεται;
With-such man according-to Aeschylus who will-be-matched
τίν' ἀντιτάξω τῷδε; τίς φερέγγυος;
whom shall-I-set-against this(-man) who (is)-trustworthy

ἐφαίνετο τὸν τῶν καλῶν καὶ ἀοιδίμων οἰκιστὴν Ἀθηνῶν
it-appeared the of-the fair and famed founder of-Athens
ἀντιστῆσαι καὶ παραβαλεῖν τῷ πατρὶ τῆς ἀνικήτου καὶ
to-set-against and to-compare to-the father of-the unconquered and
μεγαλοδόξου Ῥώμης, εἴη μὲν οὖν ἡμῖν ἐκκαθαιρόμενον
glorious Rome may-it-be indeed then for-us being-purified
λόγῳ τὸ μυθῶδες ὑπακοῦσαι καὶ λαβεῖν ἱστορίας ὄψιν,
by-reason the fabulous to-submit and to-take of-history appearance
ὅπου δ' ἂν αὐθαδῶς τοῦ πιθανοῦ περιφρονῇ καὶ μὴ
where and — insolently the plausible it-should-disdain and not
δέχηται τὴν πρὸς τὸ εἰκὸς μῖξιν, εὐγνωμόνων ἀκροατῶν
accept the with the probable mixture indulgent listeners
δεησόμεθα καὶ πράως τὴν ἀρχαιολογίαν προσδεχομένων.
we-shall-ask and gently the old-story receiving

Ἐδόκει δ' οὖν ὁ Θησεὺς τῷ Ῥωμύλῳ κατὰ πολλὰς 2
it-seemed and then — Theseus — to-Romulus in many
ἐναρμόττειν ὁμοιότητας· ἄμφω μὲν γὰρ ἀνεγγύω καὶ
to-fit resemblances both indeed for illegitimate and
σκοτίω γενόμενοι δόξαν ἔσχον ἐκ θεῶν γεγονέναι,
obscure having-been-born reputation had from gods to-have-been-born

Ἄμφω δ' αἰχμητά, τό γε δὴ καὶ ἴδμεν ἅπαντες,
Both and spearmen this at-least indeed also we-know all

καὶ μετὰ τοῦ δυνατοῦ τὸ συνετὸν ἔχοντες. πόλεων δὲ
and with the strength the intelligence having of-cities and
τῶν ἐπιφανεστάτων ὁ μὲν ἔκτισε τὴν Ῥώμην, ὁ
of-the most-famous the(-one) indeed founded — Rome the(-other)
δὲ συνῴκισε τὰς Ἀθήνας· ἁρπαγὴ δὲ γυναικῶν ἑκατέρῳ
and united — Athens rape and of-women to-each
πρόσεστιν. οὐδέτερος δὲ δυστυχίαν περὶ τὰ οἰκεῖα
belongs neither and misfortune about the domestic(-affairs)
καὶ νέμεσιν ἐγγενῆ διέφυγεν, ἀλλὰ καὶ τελευτῶντες
and retribution from-their-own-kin escaped but even at-the-end
ἀμφότεροι λέγονται τοῖς ἑαυτῶν προσκροῦσαι πολίταις,
both are-said with-their own to-have-offended citizens
εἴ τι τῶν ἥκιστα τραγικῶς εἰρῆσθαι δοκούντων
if anything of-the(-things) least tragically to-be-said seeming
ὄφελός ἐστι πρὸς ἀλήθειαν.
use is for truth
Θησέως τὸ μὲν πατρῷον γένος εἰς Ἐρεχθέα καὶ τοὺς 3
of-Theseus the indeed paternal descent to Erechtheus and the
πρώτους αὐτόχθονας ἀνήκει, τῷ δὲ μητρῴῳ Πελοπίδης
first autochthons goes-back by-the and maternal Pelopid
ἦν. Πέλοψ γὰρ οὐ χρημάτων πλήθει μᾶλλον ἢ παίδων
he-was Pelops for not of-money by-quantity more than of-children

μέγιστον ἴσχυσε τῶν ἐν Πελοποννήσῳ βασιλέων, πολλὰς
greatest was-strong of-the in Peloponnesus kings many
μὲν ἐκδόμενος θυγατέρας τοῖς ἀρίστοις, πολλοὺς
indeed having-given-in-marriage daughters to-the best many
δὲ ταῖς πόλεσιν υἱοὺς ἐγκατασπείρας ἄρχοντας· ὧν
and in-the cities sons having-sown-in (as)-rulers of-whom
εἷς γενόμενος Πιτθεύς, ὁ Θησέως πάππος, πόλιν μὲν
one having-become Pittheus the of-Theseus grandfather city indeed
οὐ μεγάλην τὴν Τροιζηνίων ᾤκισε, δόξαν δὲ μάλιστα
not great the(-city) of-Troezenians founded reputation and most
πάντων ὡς ἀνὴρ λόγιος ἐν τοῖς τότε καὶ σοφώτατος
of-all as man learned in the then(-men) and wisest
ἔσχεν. ἦν δὲ τῆς σοφίας ἐκείνης τοιαύτη τις, ὡς ἔοικεν,
had was and of-the wisdom that such some as it-seems
ἰδέα καὶ δύναμις, οἵᾳ χρησάμενος Ἡσίοδος εὐδοκίμει
form and power such-as having-used Hesiod was-esteemed
μάλιστα περὶ τὰς ἐν τοῖς Ἔργοις γνωμολογίας. καὶ μίαν
most for the in the Works maxims and one
γε τούτων ἐκείνην λέγουσι Πιτθέως εἶναι,
at-least of-these that(-one) they-say of-Pittheus to-be

Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω.
Wage and for-man dear agreed sufficient let-it-be

τοῦτο μὲν οὖν καὶ Ἀριστοτέλης ὁ φιλόσοφος εἴρηκεν, ὁ
this indeed then also Aristotle the philosopher has-said —
δ' Εὐριπίδης, τὸν Ἱππόλυτον ἁγνοῦ Πιτθέως παίδευμα
and Euripides — Hippolytus of-holy Pittheus nursling
προσειπών, ἐμφαίνει τὴν περὶ τὸν Πιτθέα δόξαν.
having-called shows the about — Pittheus reputation

Αἰγεῖ δὲ παίδων δεομένῳ τὴν Πυθίαν ἀνελεῖν λέγουσι
to-Aegeus and children wanting — Pythia to-have-given they-say
τὸν θρυλούμενον χρησμόν, διακελευομένην μηδεμιᾷ γυναικὶ
the much-repeated oracle bidding with-no woman
συγγενέσθαι πρὶν ἐλθεῖν εἰς Ἀθήνας, οὐ πάνυ δὲ τοῦτο
to-consort before to-come to Athens not altogether and this
φράζειν εὐδήλως δοκοῦσαν· ὅθεν εἰς Τροιζῆνα παρελθὼν
to-declare clearly seeming whence to Troezen having-come
ἀνεκοινοῦτο Πιτθεῖ τὴν τοῦ θεοῦ φωνὴν οὕτως ἔχουσαν·
he-communicated to-Pittheus the of-the god voice thus running

Ἀσκοῦ τὸν προὔχοντα πόδα, μέγα φέρτατε λαῶν,
Of-the-wineskin the projecting foot by-far O-greatest of-peoples
μὴ λύσῃς πρὶν δῆμον Ἀθηνέων εἰσαφικέσθαι·
not loose before people of-Athenians to-reach

ἃ δῆλον ὅτι νοήσας ὁ Πιτθεύς, ἔπεισεν αὐτὸν
which (it-is)-clear that having-understood — Pittheus persuaded him
ἢ διηπάτησε τῇ Αἴθρᾳ συγγενέσθαι. συνελθὼν δὲ καὶ
or deceived — with-Aethra to-consort having-lain-with and and
γνοὺς ἐκεῖνος ὅτι τῇ Πιτθέως θυγατρὶ συγγέγονε,
having-learned that(-man) that with-the of-Pittheus daughter he-had-consorted
καὶ κύειν αὐτὴν ὑπονοήσας, ἀπέλιπε ξίφος καὶ
and to-be-pregnant her suspecting left-behind sword and
πέδιλα κρύψας ὑπὸ πέτραν μεγάλην, ἐντὸς ἔχουσαν
sandals having-bidden(-them) under rock great within having
κοιλότητα συμμέτρως ἐμπεριλαμβάνουσαν τὰ κείμενα.
hollow proportionately enclosing the(-things) lying
φράσας δὲ πρὸς μόνην ἐκείνην, καὶ διακελευσάμενος,
having-told and to only her and having-bidden
ἂν υἱὸς ἐξ αὐτοῦ γένηται, καὶ λαβὼν ἀνδρὸς ἡλικίαν
if son from him be-born and having-taken of-man age

δυνατὸς ἦ τὴν πέτραν ἀναστῆσαι καὶ ὑφελεῖν τὰ
able be the rock to-lift and to-take-away the(-things)
καταλειφθέντα, πέμπειν πρὸς αὐτὸν ἔχοντα ταῦτα μηδενὸς
left to-send to him having these-things no-one
εἰδότος, ἀλλ' ὡς ἔνεστι μάλιστα λανθάνοντα πάντας
knowing but as is-possible most escaping-notice all
(ἰσχυρῶς γὰρ ἐδεδοίκει τοὺς Παλλαντίδας, ἐπιβουλεύοντας
strongly for he-feared the Pallantids plotting
αὐτῷ καὶ διὰ τὴν ἀπαιδίαν καταφρονοῦντας· ἦσαν
against-him and because-of the childlessness despising(-him) were
δὲ πεντήκοντα παῖδες ἐκ Πάλλαντος γεγονότες), ἀπῄει.
and fifty sons from Pallas born he-went-away
4 Τεκούσης δὲ τῆς Αἴθρας υἱόν, οἱ μὲν εὐθὺς
having-given-birth and — Aethra a-son the(-ones) indeed immediately
ὀνομασθῆναι Θησέα λέγουσι διὰ τὴν τῶν γνωρισμάτων
to-have-been-named Theseus say because-of the of-the tokens
θέσιν, οἱ δὲ ὕστερον Ἀθήνησι παῖδα θεμένου τοῦ
placing the(-others) and later at-Athens son acknowledging —
Αἰγέως αὐτόν. τρεφόμενον δὲ ὑπὸ τοῦ Πιτθέως ἐπιστάτην
Aegeus him being-reared and by — Pittheus overseer
ἔχειν καὶ παιδαγωγὸν ὄνομα Κοννίδαν, ᾧ μέχρι
to-have and tutor by-name Connidas to-whom until
νῦν Ἀθηναῖοι μιᾷ πρότερον ἡμέρᾳ τῶν Θησείων κριὸν
now Athenians one before day of-the Theseia ram
ἐναγίζουσι, μεμνημένοι καὶ τιμῶντες πολὺ δικαιότερον
sacrifice remembering and honoring much more-justly
ἢ Σιλανίωνα τιμῶσι καὶ Παρράσιον, εἰκόνων Θησέως
than Silanion they-honor and Parrhasius of-portraits of-Theseus
γραφεῖς καὶ πλάστας γενομένους.
painters and sculptors having-been

The young Theseus dedicates his hair at Delphi, shorn only in front, as the Abantes wore it. Aethra shows him the rock; he lifts it and takes his father's tokens. Refusing the safe sea crossing, he resolves to go by land and to emulate Heracles, who was his kinsman and whose fame had long burned in him. On the road he kills Periphetes the club-bearer at Epidaurus and takes his club, and kills Sinis the pine-bender, whose daughter Perigune hides among the asparagus.

Ἔθους δὲ ὄντος ἔτι τότε τοὺς μεταβαίνοντας ἐκ παίδων
custom and being still then the(-ones) passing-over from childhood
ἐλθόντας εἰς Δελφοὺς ἀπάρχεσθαι τῷ θεῷ τῆς κόμης, ἦλθε
having-come to Delphi to-offer-first-fruits to-the god of-the hair came
μὲν εἰς Δελφοὺς ὁ Θησεύς, καὶ τόπον ἀπ᾽ αὐτοῦ τὴν Θησείαν
indeed to Delphi — Theseus and place from him — Theseia
ἔτι νῦν ὀνομάζεσθαι λέγουσιν, ἐκείρατο δὲ τῆς κεφαλῆς τὰ
still now to-be-named they-say he-shaved and of-the head the
πρόσθεν μόνον, ὥσπερ Ὅμηρος ἔφη τοὺς Ἄβαντας· καὶ
front only as Homer said the Abantes(-did) and
τοῦτο τῆς κουρᾶς τὸ γένος Θησηΐς ὠνομάσθη δι᾽ ἐκεῖνον.
this of-the tonsure the kind Theseis was-named because-of him
Οἱ δὲ Ἄβαντες ἐκείραντο πρῶτοι τὸν τρόπον τοῦτον οὐχ
the and Abantes shaved first the manner this not
ὑπ᾽ Ἀράβων διδαχθέντες, ὡς ἔνιοι νομίζουσιν, οὐδὲ Μυσοὺς
by Arabs having-been-taught as some think nor Mysians
ζηλώσαντες, ἀλλ᾽ ὄντες πολεμικοὶ καὶ ἀγχέμαχοι, καὶ
having-emulated but being warlike and close-fighters and

μάλιστα δὴ πάντων εἰς χεῖρας ὠθεῖσθαι τοῖς ἐναντίοις
most indeed of-all into hands to-thrust-themselves on-the opponents
μεμαθηκότες, ὡς μαρτυρεῖ καὶ Ἀρχίλοχος ἐν τούτοις·
having-learned as bears-witness also Archilochus in these(-words)

Οὔ τοι πόλλ' ἐπὶ τόξα τανύσσεται οὐδὲ θαμειαὶ
Not surely many upon bows will-be-stretched nor frequent
σφενδόναι, εὖτ' ἂν δὴ μῶλον Ἄρης συνάγῃ
slings when — indeed the-moil Ares joins
ἐν πεδίῳ, ξιφέων δὲ πολύστονον ἔσσεται ἔργον·
in plain of-swords but much-groaning will-be work
ταύτης γὰρ κεῖνοι δαίμονές εἰσι μάχης
of-this for those masters are of-battle
δεσπόται Εὐβοίας δουρικλυτοί.
lords of-Euboea spear-famed

ὅπως οὖν μὴ παρέχοιεν ἐκ τῶν τριχῶν ἀντίληψιν τοῖς
so-that then not they-might-give from the hair a-hold to-the
πολεμίοις ἀπεκείραντο. τοῦτο δὲ ἀμέλει καὶ Ἀλέξανδρον
enemies they-shaved this and doubtless also Alexander
τὸν Μακεδόνα ἐννοήσαντά φασι προστάξαι τοῖς στρατηγοῖς
the Macedonian having-noticed they-say to-have-ordered to-the generals
ξυρεῖν τὰ γένεια τῶν Μακεδόνων, ὡς λαβὴν ταύτην ἐν
to-shave the beards of-the Macedonians as hold this in
ταῖς μάχαις οὖσαν προχειροτάτην.
the battles being most-ready-to-hand

6 Τὸν μὲν οὖν ἄλλον χρόνον ἔκρυπτεν Αἴθρα τὴν ἀληθινὴν
the indeed then other time hid Aethra the true
τοῦ Θησέως γένεσιν· ἦν δὲ λόγος ὑπὸ τοῦ Πιτθέως
— of-Theseus birth was and story by — Pittheus
διαδοθεὶς ὡς ἐκ Ποσειδῶνος τεκνωθείη. Ποσειδῶνα
spread-abroad that from Poseidon he-was-begotten Poseidon

γὰρ Τροιζήνιοι σέβονται διαφερόντως, καὶ θεὸς οὗτός
for Troezenians revere especially and god this
ἐστιν αὐτοῖς πολιοῦχος, ᾧ καὶ καρπῶν ἀπάρχονται
is for-them city-guardian to-whom both of-fruits they-offer-first-fruits
καὶ τρίαιναν ἐπίσημον ἔχουσι τοῦ νομίσματος. ἐπεὶ δὲ
and trident (as)-device they-have of-the coinage when and
μειράκιον ὤν, ἅμα τῇ τοῦ σώματος ῥώμῃ διέφαινεν
youth being together-with the of-the body strength he-showed-forth
ἀλκὴν καὶ φρόνημα μετὰ νοῦ καὶ συνέσεως βέβαιον, οὕτως
prowess and spirit with mind and understanding steady thus
αὐτὸν ἡ Αἴθρα πρὸς τὴν πέτραν προσαγαγοῦσα, καὶ
him — Aethra to the rock having-led and
φράσασα περὶ τῆς γενέσεως τἀληθές, ἐκέλευσεν ὑφελεῖν
having-told about the birth the-truth bade to-take-up
τὰ πατρῷα σύμβολα καὶ πλεῖν εἰς Ἀθήνας. ὁ δὲ τὴν
the paternal tokens and to-sail to Athens he and the
μὲν πέτραν ὑπέδυ καὶ ῥᾳδίως ἀνέωσε, πλεῖν δὲ ἀπέγνω,
indeed rock got-under and easily thrust-up to-sail but he-refused
καίπερ οὔσης ἀσφαλείας καὶ δεομένων τοῦ τε πάππου
although there-being safety and begging the both grandfather
καὶ τῆς μητρός. χαλεπὸν γὰρ ἦν πεζῇ πορεύεσθαι τὴν
and the mother difficult for was on-foot to-travel the
εἰς Ἀθήνας ὁδόν, οὐδὲν μέρος καθαρὸν οὐδὲ ἀκίνδυνον
to Athens road no part clean nor safe
ὑπὸ λῃστῶν καὶ κακούργων ἔχουσαν.
from robbers and evildoers having
Ὁ γὰρ δὴ χρόνος ἐκεῖνος ἤνεγκεν ἀνθρώπους χειρῶν
the for indeed time that bore men of-hands
μὲν ἔργοις καὶ ποδῶν τάχεσι καὶ σωμάτων ῥώμαις,
indeed in-deeds and of-feet in-swiftness and of-bodies in-strengths
ὡς ἔοικεν, ὑπερφυεῖς καὶ ἀκαμάτους, πρὸς οὐδὲν δὲ τῇ
as it-seems extraordinary and tireless for nothing but the

φύσει χρωμένους ἐπιεικὲς οὐδὲ ὠφέλιμον, ἀλλ᾽ ὕβρει
nature using reasonable nor useful but in-insolence
τε χαίροντας ὑπερηφάνῳ, καὶ ἀπολαύοντας τῆς δυνάμεως
both rejoicing arrogant and enjoying the power
ὠμότητι καὶ πικρίᾳ, καὶ τῷ κρατεῖν τε καὶ βιάζεσθαι καὶ
with-cruelty and bitterness and in-the to-overpower both and to-force and
διαφθείρειν τὸ παραπῖπτον, αἰδῶ δὲ καὶ δικαιοσύνην
to-destroy the(-thing) falling-in-their-way modesty and and justice
καὶ τὸ ἴσον καὶ τὸ φιλάνθρωπον, ὡς ἀτολμίᾳ τοῦ
and the equal and the humane as from-lack-of-daring of-the
ἀδικεῖν καὶ φόβῳ τοῦ ἀδικεῖσθαι τοὺς πολλοὺς ἐπαινοῦντας,
to-do-wrong and from-fear of-the to-be-wronged the many praising
οὐδὲν οἰομένους προσήκειν τοῖς πλέον ἔχειν δυναμένοις.
nothing thinking to-belong to-those more to-have being-able
τούτων Ἡρακλῆς τοὺς μὲν ἐξέκοπτε καὶ ἀνῄρει περιῶν,
of-these(-men) Heracles the(-ones) indeed cut-off and destroyed going-about
οἱ δὲ λανθάνοντες ἐκείνου παριόντος ἔπτησσον καὶ
the(-others) and escaping-notice while-that(-one) passed cowered and
ἀνεδύοντο καὶ παρημελοῦντο ταπεινὰ πράττοντες. ἐπεὶ δὲ
slunk-away and were-overlooked humble(-lives) living when and
Ἡρακλῆς ἐχρήσατο συμφορᾷ, καὶ κτείνας Ἴφιτον εἰς Λυδίαν
Heracles met-with misfortune and having-killed Iphitus to Lydia
ἀπῆρε καὶ συχνὸν ἐκεῖ χρόνον ἐδούλευε παρ᾽ Ὀμφάλῃ,
went-off and long there time was-slave with Omphale
δίκην τοῦ φόνου ταύτην ἐπιθεὶς αὑτῷ, τότε τὰ μὲν
(as)-penalty for-the murder this having-imposed on-himself then the indeed
Λυδῶν πράγματα πολλὴν ἔσχεν εἰρήνην καὶ ἄδειαν· ἐν δὲ
of-Lydians affairs much had peace and security in and
τοῖς περὶ τὴν Ἑλλάδα τόποις αὖθις ἐξήνθησαν αἱ κακίαι
the about — Greece places again blossomed-forth the vices
καὶ ἀνερράγησαν, οὐδενὸς πιέζοντος οὐδὲ κατείργοντος.
and broke-out no-one pressing nor restraining

Ἦν οὖν ὀλέθριος ἡ πορεία τοῖς Ἀθήναζε πεζῇ
was then deadly the journey for-those to-Athens on-foot
βαδίζουσιν ἐκ Πελοποννήσου· καὶ τῶν κακούργων ἕκαστον
walking from Peloponnese and of-the evildoers each
ἐξηγούμενος Πιτθεὺς ὁποῖος εἴη καὶ ὁποῖα δρῴη
describing Pittheus what-sort he-might-be and what-things he-did
περὶ τοὺς ξένους, ἔπειθε τὸν Θησέα κομίζεσθαι διὰ
to the strangers tried-to-persuade — Theseus to-travel through
θαλάττης. τὸν δὲ πάλαι μέν, ὡς ἔοικε, λεληθότως διέκαιεν
sea him but long indeed as it-seems secretly inflamed
ἡ δόξα τῆς Ἡρακλέους ἀρετῆς, καὶ πλεῖστον ἐκείνου
the glory of-the of-Heracles valor and most of-that(-one)
λόγον εἶχε, καὶ προθυμότατος ἀκροατὴς ἐγίνετο τῶν
account he-made and most-eager listener he-became of-those
διηγουμένων ἐκεῖνον οἷος εἴη, μάλιστα δὲ τῶν αὐτὸν
describing that(-one) what-sort he-was especially and of-those him
ἑωρακότων καὶ πράττοντι καὶ λέγοντι προστετυχηκότων·
having-seen and doing and speaking having-met-with
τότε δὲ παντάπασιν ἦν φανερὸς πεπονθὼς ὅπερ ὕστερον
then and altogether he-was plainly affected as later
χρόνοις πολλοῖς Θεμιστοκλῆς ἔπαθε, καὶ εἶπεν ὡς
by-times many Themistocles was-affected and said that
καθεύδειν αὐτὸν οὐκ ἐᾷη τὸ Μιλτιάδου τρόπαιον· οὕτως
to-sleep him not let the of-Miltiades trophy so
ἐκείνῳ τοῦ Ἡρακλέους θαυμάζοντι τὴν ἀρετήν, καὶ νύκτωρ
for-him — of-Heracles admiring the valor both by-night
ὄνειρος ἦσαν αἱ πράξεις, καὶ μεθ' ἡμέραν ἐξῆγεν αὐτὸν
dream were the deeds and by day led-out him
ὁ ζῆλος καὶ ἀνηρέθιζε ταὐτὰ πράττειν διανοούμενον.
the emulation and spurred the-same(-things) to-do intending

7 Ἐτύγχανον δὲ καὶ γένους κοινωνοῦντες ἐξ ἀνεψιῶν
they-happened and also in-descent sharing from cousins
ὄντες. Αἴθρα μὲν γὰρ ἦν Πιτθέως θυγάτηρ, Ἀλκμήνη
being Aethra indeed for was of-Pittheus daughter Alcmene
δὲ Λυσιδίκης, Λυσιδίκη δὲ καὶ Πιτθεὺς ἀδελφοὶ γεγονότες
and of-Lysidice Lysidice and and Pittheus siblings having-been
ἐξ Ἱπποδαμείας καὶ Πέλοπος. δεινὸν οὖν ἐποιεῖτο καὶ
from Hippodameia and Pelops terrible then he-thought(-it) and
οὐκ ἀνεκτὸν ἐκεῖνον μὲν ἐπὶ τοὺς πανταχοῦ πονηροὺς
not bearable that(-man) indeed against the everywhere wicked
βαδίζοντα καθαίρειν γῆν καὶ θάλατταν, αὐτὸν δὲ τοὺς
going to-cleanse land and sea himself but the
ἐμποδὼν ἄθλους ἀποδιδράσκειν, τὸν μὲν λόγῳ καὶ δόξῃ
in-his-way contests to-run-away-from the indeed in-word and in-repute
πατέρα καταισχύνων διὰ θαλάττης φυγῇ κομιζόμενος,
father disgracing through sea by-flight being-conveyed
τῷ δὲ ὄντι προσφέρων γνωρίσματα πέδιλα καὶ ξίφος
to-the and real(-one) bringing (as)-tokens sandals and sword
ἀναίμακτον, οὐκ ἔργοις εὐθὺς ἀγαθοῖς καὶ πράξεσι παρέχων
unbloodied not by-deeds at-once good and by-actions offering
ἐμφανῆ χαρακτῆρα τῆς εὐγενείας. τοιούτῳ φρονήματι καὶ
manifest stamp of-the noble-birth with-such spirit and
τοιούτοις λογισμοῖς ἐξώρμησεν, ὡς ἀδικήσων μὲν οὐδένα,
such reasonings he-set-out as going-to-wrong indeed no-one
τοὺς δὲ ὑπάρχοντας βίας ἀμυνούμενος.
the(-ones) but beginning violence going-to-punish

8 Καὶ πρῶτον μὲν ἐν τῇ Ἐπιδαυρίᾳ Περιφήτην,
and first indeed in the Epidaurian(-land) Periphetes
ὅπλῳ χρώμενον κορύνῃ καὶ διὰ τοῦτο Κορυνήτην
as-weapon using club and because-of this Club-man
ἐπικαλούμενον, ἁπτόμενον αὐτοῦ καὶ κωλύοντα προάγειν
called seizing him and preventing to-go-forward

συμβαλὼν ἀπέκτεινεν· ἡσθεὶς δὲ τῇ κορύνῃ λαβὼν
having-engaged he-killed being-pleased and with-the club having-taken
ὅπλον ἐποιήσατο καὶ διετέλει χρώμενος, ὥσπερ ὁ
(as)-weapon he-made(-it) and continued using(-it) as —
Ἡρακλῆς τῷ δέρματι τοῦ λέοντος. ἐκείνῳ μὲν οὖν
Heracles the skin of-the lion for-that(-one) indeed then
ἐπίδειξις ἦν φορούμενον ἡλίκου τὸ μέγεθος θηρίου
display was being-worn how-great the size of-beast
κρατήσειεν, οὗτος δὲ τὴν κορύνην ἐπεδείκνυεν ἡττημένην
he-had-mastered this(-one) and the club displayed defeated
μὲν ὑπ' αὐτοῦ, μετ' αὐτοῦ δὲ ἀήττητον οὖσαν.
indeed by him with him but unconquered being
Ἐν δ' Ἰσθμῷ Σίνιν τὸν πιτυοκάμπτην ᾧ τρόπῳ πολλοὺς
at and Isthmus Sinis the pine-bender in-which manner many
ἀνῄρει, τούτῳ διέφθειρεν αὐτός, οὐ μεμελετηκὼς οὐδ'
he-killed in-this destroyed himself not having-practiced nor
εἰθισμένος, ἐπιδείξας δὲ τὴν ἀρετὴν ὅτι καὶ τέχνης περίεστι
being-accustomed having-shown and the valor that also art surpasses
καὶ μελέτης ἁπάσης. ἦν δὲ τῷ Σίνιδι καλλίστη καὶ μεγίστη
and practice all was and — to-Sinis most-beautiful and tallest
θυγάτηρ, ὄνομα Περιγούνη. ταύτην τοῦ πατρὸς ἀνῃρημένου
daughter by-name Perigune her the father having-been-slain
φυγοῦσαν ἐζήτει περιϊὼν ὁ Θησεύς· ἡ δ' εἰς τόπον
having-fled sought going-about — Theseus she and into place
ἀπελθοῦσα λόχμην ἔχοντα πολλὴν στοιβήν τε πλείστην
having-gone-away thicket having much prickly-bush both very-much
καὶ ἀσφάραγον, ἀκάκως πάνυ καὶ παιδικῶς ὥσπερ
and asparagus guilelessly altogether and childishly as-if
αἰσθανομένων δεομένη προσεύχετο μεθ' ὅρκων, ἂν σώσωσιν
perceiving begging prayed with oaths if they-saved
αὐτὴν καὶ ἀποκρύψωσι, μηδέποτε λυμανεῖσθαι μηδὲ καύσειν.
her and hid(-her) never to-harm nor to-burn

ἀνακαλουμένου δὲ τοῦ Θησέως καὶ πίστιν διδόντος ὡς
calling(-her)-out and — Theseus and pledge giving that
ἐπιμελήσεται καλῶς αὐτῆς καὶ οὐδὲν ἀδικήσει, προῆλθε·
he-will-take-care well of-her and in-nothing will-wrong(-her) she-came-forth
καὶ τῷ μὲν Θησεῖ συγγενομένη Μελάνιππον ἔτεκε, Δηϊονεῖ
and — indeed to-Theseus having-consorted Melanippus bore to-Deioneus
δὲ τῷ Εὐρύτου τοῦ Οἰχαλιέως ὕστερον συνῴκησε, Θησέως
and the(-son) of-Eurytus the Oechalian later she-was-married Theseus
δόντος. ἐκ δὲ Μελανίππου τοῦ Θησέως γενόμενος Ἴωξος
giving(-her) from and Melanippus the(-son) of-Theseus having-been-born Ioxus
Ὀρνύτῳ τῆς εἰς Καρίαν ἀποικίας μετέσχεν· ὅθεν Ἰωξίδαις
with-Ornytus in-the to Caria colony took-part whence for-Ioxids
καὶ Ἰωξίσι πάτριον κατέστη μήτε ἄκανθαν ἀσφαράγου
and Ioxid-women ancestral(-custom) was-established neither thorn of-asparagus
μήτε στοιβὴν καίειν, ἀλλὰ σέβεσθαι καὶ τιμᾶν.
nor prickly-bush to-burn but to-revere and to-honor(-them)

III · THE ROBBERS PUNISHED

Theseus kills the Crommyonian sow Phaea, and Sciron, whom he throws down the rocks (though the Megarian historians deny that Sciron was a robber), and Cercyon the wrestler at Eleusis, and Damastes, called Procrustes, each by his own cruelty. At the Cephisus the Phytalidae purify him of bloodshed. Reaching Athens, he finds the city in disorder and Aegeus under Medea's sway. She urges the king to poison the stranger at a banquet, but Theseus draws his sword to carve the meat, Aegeus knows it, dashes down the cup, and acknowledges his son.

9 Ἡ δὲ Κρομμυωνία σῦς, ἣν Φαιὰν προσωνόμαζον, οὐ
the and Crommyonian sow which Phaea they-called not
φαῦλον ἦν θηρίον, ἀλλὰ μάχιμον καὶ χαλεπὸν κρατηθῆναι.
mean was beast but warlike and hard to-be-mastered

ταύτην ὁδοῦ πάρεργον, ὡς μὴ δοκοίη πάντα πρὸς
her of-the-road (as)-a-side-task so-that not he-might-seem all under
ἀνάγκην πονεῖν, ὑποστὰς ἀνεῖλε, καὶ ἅμα τῶν μὲν
compulsion to-toil having-stood-up-to(-her) he-killed and at-once of-the indeed
ἀνθρώπων τοῖς πονηροῖς ἀμυνόμενον οἰόμενος δεῖν τὸν
men to-the wicked warding-off thinking it-needful the
ἀγαθὸν προσφέρεσθαι, τῶν δὲ θηρίων καὶ προεπιχειροῦντα
good(-man) to-attack of-the and beasts even attacking-first
τοῖς γενναίοις μάχεσθαι καὶ διακινδυνεύειν. ἔνιοι δέ φασι τὴν
the noble(-ones) to-fight and to-run-risks some but say —
Φαιὰν λῃστρίδα γενέσθαι γυναῖκα φονικὴν καὶ ἀκόλαστον,
Phaea robber to-have-been woman murderous and licentious
αὐτόθι κατοικοῦσαν ἐν Κρομμυῶνι, σῦν δὲ ἐπονομασθεῖσαν
there dwelling in Crommyon sow and nicknamed
διὰ τὸ ἦθος καὶ τὸν βίον εἶτα ὑπὸ Θησέως ἀποθανεῖν.
because-of the character and the life then by Theseus to-have-died
Σκείρωνα δὲ πρὸ τῆς Μεγαρικῆς ἀνεῖλε ῥίψας 10
Sciron and before the Megarian(-land) he-killed having-thrown(-him)
κατὰ τῶν πετρῶν, ὡς μὲν ὁ πολὺς λόγος λῃστεύοντα
down the rocks as indeed the general account(-has-it) robbing
τοὺς παριόντας, ὡς δ' ἔνιοι λέγουσιν ὕβρει καὶ τρυφῇ
the(-ones) passing-by as but some say in-insolence and luxury
προτείνοντα τὼ πόδε τοῖς ξένοις καὶ κελεύοντα νίπτειν,
holding-out the two-feet to-the strangers and bidding(-them) to-wash(-them)
εἶτα λακτίζοντα καὶ ἀπωθοῦντα νίπτοντας εἰς τὴν θάλατταν.
then kicking and pushing(-them) washing into the sea
οἱ δὲ Μεγαρόθεν συγγραφεῖς, ὁμόσε τῇ φήμῃ
the but from-Megara historians to-close-quarters with-the report
βαδίζοντες καὶ τῷ πολλῷ χρόνῳ, κατὰ Σιμωνίδην,
going and with-the long time according-to Simonides
πολεμοῦντες, οὔτε ὑβριστὴν οὔτε λῃστὴν γεγονέναι τὸν
warring neither insolent nor robber to-have-been —

Σκείρωνά φασιν, ἀλλὰ λῃστῶν μὲν κολαστήν, ἀγαθῶν
Sciron they-say but of-robbers indeed punisher of-good
δὲ καὶ δικαίων οἰκεῖον ἀνδρῶν καὶ φίλον. Αἰακόν τε
and and of-just kinsman of-men and friend Aeacus both
γὰρ Ἑλλήνων ὁσιώτατον νομίζεσθαι, καὶ Κυχρέα τιμὰς
for of-Greeks most-holy to-be-thought and Cychreus honors
θεῶν ἔχειν Ἀθήνησι τὸν Σαλαμίνιον, τὴν δὲ Πηλέως καὶ
of-gods to-have at-Athens the Salaminian the and of-Peleus and
Τελαμῶνος ἀρετὴν ὑπ᾽ οὐδενὸς ἀγνοεῖσθαι. Σκείρωνα τοίνυν
of-Telamon valor by no-one to-be-unknown Sciron then
Κυχρέως μὲν γενέσθαι γαμβρόν, Αἰακοῦ δὲ πενθερόν,
of-Cychreus indeed to-have-been son-in-law of-Aeacus and father-in-law
Πηλέως δὲ καὶ Τελαμῶνος πάππον, ἐξ Ἐνδηΐδος γεγονότων
of-Peleus and and of-Telamon grandfather from Endeis having-been-born
τῆς Σκείρωνος καὶ Χαρικλοῦς θυγατρός. οὔκουν εἰκὸς εἶναι
the of-Sciron and of-Chariclo daughter not-therefore likely to-be
τῷ κακίστῳ τοὺς ἀρίστους εἰς κοινωνίαν γένους ἐλθεῖν,
with-the basest the best(-men) into partnership of-family to-come
τὰ μέγιστα καὶ τιμιώτατα λαμβάνοντας καὶ διδόντας.
the greatest and most-precious(-things) taking and giving
ἀλλὰ Θησέα φασὶν οὐχ ὅτε τὸ πρῶτον ἐβάδιζεν εἰς Ἀθήνας,
but Theseus they-say not when the first he-was-going to Athens
ἀλλ᾽ ὕστερον Ἐλευσῖνά τε λαβεῖν Μεγαρέων ἐχόντων,
but later Eleusis both to-have-taken Megarians holding(-it)
παρακρουσάμενον Διοκλέα τὸν ἄρχοντα, καὶ Σκείρωνα
having-deceived Diocles the ruler and Sciron
ἀποκτεῖναι. ταῦτα μὲν οὖν ἔχει τοιαύτας ἀντιλογίας.
to-have-killed these-things indeed then has such contradictions
11 Ἐν δὲ Ἐλευσῖνι Κερκύονα τὸν ἐξ Ἀρκαδίας
in and Eleusis Cercyon the(-one) from Arcadia
καταπαλαίσας ἀνεῖλε· καὶ μικρὸν προελθὼν Δαμάστην
having-thrown(-him)-in-wrestling he-killed and a-little having-gone-on Damastes

ἐν Ἐρινεῷ τὸν Προκρούστην, ἀναγκάσας αὑτὸν ἀπισοῦν
in Erineus the Procrustes having-forced himself to-make-equal
τοῖς κλιντῆρσιν ὥσπερ τοὺς ξένους ἐκεῖνος. ἔπραττε δὲ
to-the beds as the strangers that(-one)(-did) he-did and
ταῦτα μιμούμενος τὸν Ἡρακλέα. καὶ γὰρ ἐκεῖνος οἷς
these-things imitating — Heracles and for that(-one) in-what
ἐπεβουλεύετο τρόποις ἀμυνόμενος τοὺς προεπιχειροῦντας,
he-was-plotted-against ways punishing the(-ones) attacking-first
ἔθυσε τὸν Βούσιριν καὶ κατεπάλαισε τὸν Ἀνταῖον καὶ τὸν
sacrificed — Busiris and threw-in-wrestling — Antaeus and —
Κύκνον κατεμονομάχησε καὶ τὸν Τέρμερον συρρήξας τὴν
Cycnus slew-in-single-combat and — Termerus having-broken the
κεφαλὴν ἀπέκτεινεν. ἀφ' οὗ δὴ καὶ τὸ Τερμέρειον κακὸν
head he-killed from which indeed also the Termerian evil
ὀνομασθῆναι λέγουσι· παίων γάρ, ὡς ἔοικε, τῇ κεφαλῇ
to-have-been-named they-say striking for as it-seems with-the head
τοὺς ἐντυγχάνοντας ὁ Τέρμερος ἀπώλλυεν. οὕτω δὴ καὶ
those meeting(-him) — Termerus destroyed(-them) so indeed also
Θησεὺς κολάζων τοὺς πονηροὺς ἐπεξῆλθεν, οἷς μὲν
Theseus punishing the wicked went-after(-them) in-which indeed
ἐβιάζοντο τοὺς ἄλλους, ὑπ' ἐκείνου καταβιαζομένους, ἐν δὲ
they-forced the others by him being-forced in and
τοῖς τρόποις τῆς ἑαυτῶν ἀδικίας τὰ δίκαια πάσχοντας.
the ways of-the their-own injustice the just(-penalties) suffering
Προϊόντι δὲ αὐτῷ καὶ γενομένῳ κατὰ τὸν Κηφισόν, 12
going-on and to-him and having-come along the Cephisus
ἄνδρες ἐκ τοῦ Φυταλιδῶν γένους ἀπαντήσαντες ἠσπάσαντο
men from the of-Phytalids family having-met(-him) greeted(-him)
πρῶτοι, καὶ δεομένου καθαρθῆναι, τοῖς νενομισμένοις
first and asking to-be-purified with-the customary(-rites)

ἁγνίσαντες καὶ μειλίχια θύσαντες εἱστίασαν οἴκοι,
having-cleansed(-him) and propitiatory(-offerings) having-sacrificed feasted(-him) at-home
μηδενὸς πρότερον αὐτῷ φιλανθρώπου καθ' ὁδὸν ἐντυχόντος.
no before to-him kindness on road having-met
Ἡμέρᾳ μὲν οὖν ὀγδόῃ λέγεται Κρονίου μηνός, ὃν νῦν
on-day indeed then eighth it-is-said of-Cronius month which now
Ἑκατομβαιῶνα καλοῦσι, κατελθεῖν. κατελθὼν δὲ εἰς
Hecatombaeon they-call to-have-come-down having-come-down and into
τὴν πόλιν εὗρε τά τε κοινὰ ταραχῆς μεστὰ καὶ
the city he-found the both public(-affairs) of-confusion full and
διχοφροσύνης, καὶ τὰ περὶ τὸν Αἰγέα καὶ τὸν οἶκον
of-dissension and the(-things) about — Aegeus and the house
ἰδίᾳ νοσοῦντα. Μήδεια γὰρ ἐκ Κορίνθου φυγοῦσα,
privately ailing Medea for from Corinth having-fled
φαρμάκοις ὑποσχομένη τῆς ἀτεκνίας ἀπαλλάξειν Αἰγέα,
by-drugs having-promised from-the childlessness to-free Aegeus
συνῆν αὐτῷ. προαισθομένη δὲ περὶ τοῦ Θησέως αὖτη,
lived-with him having-perceived-beforehand and about — Theseus she
τοῦ δὲ Αἰγέως ἀγνοοῦντος, ὄντος δὲ πρεσβυτέρου καὶ
— and Aegeus not-knowing being and older and
φοβουμένου πάντα διὰ τὴν στάσιν, ἔπεισεν αὐτὸν ὡς
fearing all because-of the faction she-persuaded him as
ξένον ἑστιῶντα φαρμάκοις ἀνελεῖν. ἐλθὼν οὖν ὁ
stranger (while)-entertaining(-him) by-poisons to-destroy having-come then —
Θησεὺς ἐπὶ τὸ ἄριστον οὐκ ἐδοκίμαζε φράζειν αὑτόν, ὅστις
Theseus to the breakfast not did-think-fit to-declare himself who
εἴη, πρότερος, ἐκείνῳ δὲ βουλόμενος ἀρχὴν ἀνευρέσεως
he-was first to-that(-one) but wishing a-beginning of-discovery
παρασχεῖν, κρεῶν παρακειμένων σπασάμενος τὴν μάχαιραν,
to-give meats being-set-beside having-drawn the knife
ὡς ταύτῃ τέμνων, ἐδείκνυεν ἐκείνῳ. ταχὺ δὲ καταμαθὼν ὁ
as with-this cutting he-showed(-it) to-him quickly and having-recognized —

Αἰγεύς, τὴν μὲν κύλικα τοῦ φαρμάκου κατέβαλε, τὸν δὲ
Aegeus the indeed cup of-the poison threw-down the and
υἱὸν ἀνακρίνας ἠσπάζετο, καὶ συναγαγὼν τοὺς πολίτας
son having-questioned embraced and having-gathered the citizens
ἐγνώριζεν, ἡδέως δεχομένους διὰ τὴν ἀνδραγαθίαν.
he-made-known(-him) gladly receiving(-him) because-of the manly-virtue
λέγεται δὲ τῆς κύλικος πεσούσης ἐκχυθῆναι τὸ
it-is-said and the cup having-fallen to-have-been-poured-out the
φάρμακον ὅπου νῦν ἐν Δελφινίῳ τὸ περίφρακτόν ἐστιν,
poison where now in Delphinium the enclosed(-place) is
ἐνταῦθα γὰρ ὁ Αἰγεὺς ᾤκει, καὶ τὸν Ἑρμῆν τὸν πρὸς
there for — Aegeus dwelt and — Hermes the(-one) toward
ἕω τοῦ ἱεροῦ καλοῦσιν ἐπ᾽ Αἰγέως πύλαις.
east of-the sanctuary they-call at of-Aegeus gates

IV · THE TRIBUTE TO CRETE

The sons of Pallas, cheated of the succession, attack; their herald Leos betrays the ambush and Theseus destroys them. He captures the bull of Marathon and sacrifices it, and Hecale, who received him, is honored. Then the Cretan tribute falls due: after Androgeos was killed, Minos demands seven youths and seven maidens every nine years for the Minotaur in the Labyrinth. Plutarch weighs the tragedians' hatred of Minos against Homer and Hesiod, and Aristotle's account that the children lived as slaves in Crete.

Οἱ δὲ Παλλαντίδαι πρότερον μὲν ἤλπιζον αὐτοὶ τὴν 13
the and Pallantids before indeed hoped themselves the
βασιλείαν καθέξειν Αἰγέως ἀτέκνου τελευτήσαντος· ἐπεὶ δὲ
kingdom to-hold Aegeus childless having-died when but
Θησεὺς ἀπεδείχθη διάδοχος, χαλεπῶς φέροντες εἰ βασιλεύει
Theseus was-appointed successor hard taking(-it) if reigns

μὲν Αἰγεὺς θετὸς γενόμενος Πανδίονι καὶ μηδὲν Ἐρεχθείδαις
indeed Aegeus adopted having-been by-Pandion and in-no-way to-Erechtheids
προσήκων, βασιλεύσει δ' ὁ Θησεὺς πάλιν ἔπηλυς ὢν καὶ
belonging will-reign and — Theseus in-turn immigrant being and
ξένος, εἰς πόλεμον καθίσταντο. καὶ διελόντες ἑαυτοὺς οἱ
stranger into war they-entered and having-divided themselves the(-ones)
μὲν ἐμφανῶς Σφηττόθεν ἐχώρουν ἐπὶ τὸ ἄστυ μετὰ τοῦ
indeed openly from-Sphettus advanced against the town with the
πατρός, οἱ δὲ Γαργηττοῖ κρύψαντες ἑαυτοὺς ἐνήδρευον,
father the(-others) and at-Gargettus having-hidden themselves lay-in-ambush
ὡς διχόθεν ἐπιθησόμενοι τοῖς ὑπεναντίοις. ἦν δὲ κῆρυξ
so-as from-two-sides to-attack the opponents was and herald
μετ' αὐτῶν, ἀνὴρ Ἀγνούσιος, ὄνομα Λεώς. οὗτος ἐξήγγειλε
with them man of-Agnus by-name Leos this(-man) reported
τῷ Θησεῖ τὰ βεβουλευμένα τοῖς Παλλαντίδαις. ὁ
— to-Theseus the(-things) planned by-the Pallantids he
δὲ ἐξαίφνης ἐπιπεσὼν τοῖς ἐνεδρεύουσι πάντας
and suddenly having-fallen-upon the(-ones) lying-in-ambush all
διέφθειρεν. οἱ δὲ μετὰ τοῦ Πάλλαντος πυθόμενοι
destroyed the(-ones) and with — Pallas having-learned(-it)
διεσπάρησαν. ἐκ τούτου φασὶ τῷ Παλληνέων δήμῳ πρὸς
were-scattered from this they-say for-the of-Pallene deme with
τὸν Ἀγνουσίων ἐπιγαμίαν μὴ εἶναι, μηδὲ κηρύττεσθαι
the(-deme) of-Agnusians intermarriage not to-be nor to-be-proclaimed
τοὐπιχώριον παρ' αὐτοῖς "Ἀκούετε λεῷ·" μισοῦσι γὰρ
the-local(-cry) among them hear O-people they-hate for
τοὔνομα διὰ τὴν προδοσίαν τοῦ ἀνδρός.
the-name because-of the treachery of-the man

14 Ὁ δὲ Θησεὺς ἐνεργὸς εἶναι βουλόμενος, ἅμα δὲ καὶ
— and Theseus active to-be wishing at-once and also
δημαγωγῶν, ἐξῆλθεν ἐπὶ τὸν Μαραθώνιον ταῦρον, οὐκ
courting-the-people went-out against the Marathonian bull not

ὀλίγα πράγματα τοῖς οἰκοῦσι τὴν Τετράπολιν παρέχοντα·
few troubles to-those inhabiting — Tetrapolis causing
καὶ χειρωσάμενος ἐπεδείξατο ζῶντα διὰ τοῦ ἄστεος
and having-mastered(-it) displayed(-it) alive through the town
ἐλάσας, εἶτα τῷ Ἀπόλλωνι τῷ Δελφινίῳ κατέθυσεν. ἡ
having-driven(-it) then — to-Apollo the Delphinian sacrificed(-it) —
δὲ Ἑκάλη καὶ τὸ περὶ αὐτὴν μυθολόγημα τοῦ ξενισμοῦ καὶ
and Hecale and the about her story of-the entertaining and
τῆς ὑποδοχῆς ἔοικε μὴ πάσης ἀμοιρεῖν ἀληθείας. ἔθυον
of-the reception seems not of-all to-be-without truth they-sacrificed
γὰρ Ἑκαλήσια οἱ πέριξ δῆμοι συνιόντες Ἑκάλῳ Διΐ, καὶ
for Hecalesia the around demes coming-together to-Hecalean Zeus and
τὴν Ἑκάλην ἐτίμων, Ἑκαλίνην ὑποκοριζόμενοι διὰ τὸ
— Hecale honored Hecaline calling(-her)-fondly because-of the
κἀκείνην νέον ὄντα κομιδῇ τὸν Θησέα ξενίζουσαν ἀσπάσασθαι
that-one-too young being quite — Theseus entertaining to-have-embraced
πρεσβυτικῶς καὶ φιλοφρονεῖσθαι τοιούτοις ὑποκορισμοῖς.
in-old-woman's-way and to-have-greeted with-such pet-names
ἐπεὶ δὲ εὔξατο μὲν ὑπὲρ αὐτοῦ τῷ Διί, βαδίζοντος ἐπὶ τὴν
since and she-vowed indeed for him — to-Zeus going to the
μάχην, εἰ σῶς παραγένοιτο, θύσειν, ἀπέθανε δὲ πρὶν ἐκεῖνον
battle if safe he-returned to-sacrifice she-died but before he
ἐπανελθεῖν, ἔσχε τὰς εἰρημένας ἀμοιβὰς τῆς φιλοξενίας
to-return she-had the said returns of-the hospitality
τοῦ Θησέως κελεύσαντος, ὡς Φιλόχορος ἱστόρηκεν.
— Theseus having-ordered(-it) as Philochorus has-recorded
Ὀλίγῳ δὲ ὕστερον ἦκον ἐκ Κρήτης τὸ τρίτον οἱ 15
little and later came from Crete the third(-time) the(-men)
τὸν δασμὸν ἀπάξοντες. ὅτι μὲν οὖν Ἀνδρόγεω περὶ τὴν
the tribute to-take-away that indeed then Androgeos about —
Ἀττικὴν ἀποθανεῖν δόλῳ δόξαντος, ὅ τε Μίνως πολλὰ
Attica to-have-died by-treachery being-thought — both Minos many

κακὰ πολεμῶν εἰργάζετο τοὺς ἀνθρώπους καὶ τὸ δαιμόνιον
evils warring wrought the men and the divinity
ἔφθειρε τὴν χώραν (ἀφορία τε γὰρ καὶ νόσος ἐνέσκηψε
was-ruining the land barrenness both for and disease fell
πολλὴ καὶ ἀνέδυσαν οἱ ποταμοί), καὶ τοῦ θεοῦ προστάξαντος
much and dried-up the rivers and the god having-ordered
ἱλασαμένοις τὸν Μίνω καὶ διαλλαγεῖσι λωφήσειν τὸ
to-them-having-propitiated — Minos and having-been-reconciled would-cease the
μήνιμα καὶ τῶν κακῶν ἔσεσθαι παῦλαν, ἐπικηρυκευσάμενοι
wrath and of-the evils there-would-be an-end having-sent-heralds
καὶ δεηθέντες ἐποιήσαντο συνθήκας ὥστε πέμπειν δι᾽ ἐννέα
and having-begged they-made covenants so-that to-send every nine
ἐτῶν δασμὸν ἠϊθέους ἑπτὰ καὶ παρθένους τοσαύτας,
years tribute youths seven and maidens as-many
ὁμολογοῦσιν οἱ πλεῖστοι τῶν συγγραφέων· τοὺς δὲ παῖδας
agree the most of-the historians the and children
εἰς Κρήτην κομιζομένους ὁ μὲν τραγικώτατος μῦθος
to Crete being-brought the indeed most-tragic tale
ἀποφαίνει τὸν Μινώταυρον ἐν τῷ Λαβυρίνθῳ διαφθείρειν, ἢ
declares — Minotaur in — Labyrinth to-destroy or

πλανωμένους αὐτοὺς καὶ τυχεῖν ἐξόδου μὴ δυναμένους ἐκεῖ
wandering them and to-find exit not being-able there
καταθνήσκειν, τὸν δὲ Μινώταυρον, ὥσπερ Εὐριπίδης φησί,
to-die — and Minotaur as Euripides says

Σύμμικτον εἶδος κἀποφώλιον βρέφος
A-mixed form and-a-monstrous offspring

γεγονέναι, καὶ
to-have-been and

Ταύρου μεμῖχθαι καὶ βροτοῦ διπλῇ φύσει.
Of-bull to-be-mingled and of-mortal in-double nature

Φιλόχορος δέ φησιν οὐ ταῦτα συγχωρεῖν Κρῆτας, ἀλλὰ 16
Philochorus but says not these-things to-allow Cretans but
λέγειν ὅτι φρουρὰ μὲν ἦν ὁ Λαβύρινθος, οὐδὲν ἔχων
to-say that a-prison indeed was — Labyrinth nothing having
κακὸν ἀλλ᾽ ἢ τὸ μὴ διαφυγεῖν τοὺς φυλαττομένους,
evil but than the not to-escape the(-ones) being-guarded
ἀγῶνα δὲ ὁ Μίνως ἐπ᾽ Ἀνδρόγεῳ γυμνικὸν ἐποίει καὶ τοὺς
a-contest and — Minos for Androgeos athletic held and the
παῖδας ἆθλα τοῖς νικῶσιν ἐδίδου τέως ἐν τῷ Λαβυρίνθῳ
children (as)-prizes to-the victors he-gave until-then in — Labyrinth
φυλαττομένους· ἐνίκα δὲ τοὺς προτέρους ἀγῶνας ὁ
guarded won and the former contests the(-man)
μέγιστον παρ᾽ αὐτῷ δυνάμενος τότε καὶ στρατηγῶν,
greatest with him having-power then and commanding
ὄνομα Ταῦρος, ἀνὴρ οὐκ ἐπιεικὴς καὶ ἥμερος τὸν τρόπον,
by-name Taurus man not reasonable and gentle the manner
ἀλλὰ καὶ τοῖς παισὶ τῶν Ἀθηναίων ὑπερηφάνως καὶ
but even to-the children of-the Athenians arrogantly and

χαλεπῶς προσφερόμενος. Ἀριστοτέλης δὲ καὶ αὐτὸς ἐν τῇ
harshly behaving Aristotle and also himself in the
Βοττιαίων πολιτείᾳ δῆλός ἐστιν οὐ νομίζων ἀναιρεῖσθαι
of-Bottiaeans constitution plain is not thinking to-be-killed
τοὺς παῖδας ὑπὸ τοῦ Μίνω, ἀλλὰ θητεύοντας ἐν τῇ
the children by — Minos but serving-as-laborers in —
Κρήτῃ καταγηράσκειν· καί ποτε Κρῆτας εὐχὴν παλαιὰν
Crete to-grow-old and once Cretans vow ancient
ἀποδιδόντας ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστέλλειν,
paying of-men first-fruits to Delphi to-send
τοῖς δὲ πεμπομένοις ἀναμιχθέντας ἐκγόνους ἐκείνων
with-those and being-sent having-mingled descendants of-those
συνεξελθεῖν· ὡς δὲ οὐκ ἦσαν ἱκανοὶ τρέφειν ἑαυτοὺς αὐτόθι,
to-go-out-with when and not they-were able to-sustain themselves there
πρῶτον μὲν εἰς Ἰταλίαν διαπερᾶσαι κἀκεῖ κατοικεῖν περὶ
first indeed to Italy to-cross and-there to-settle around
τὴν Ἰαπυγίαν, ἐκεῖθεν δὲ αὖθις εἰς Θράκην κομισθῆναι
— Iapygia from-there and again to Thrace to-be-brought
καὶ κληθῆναι Βοττιαίους· διὸ τὰς κόρας τῶν Βοττιαίων
and to-be-called Bottiaeans wherefore the girls of-the Bottiaeans
θυσίαν τινὰ τελούσας ἐπᾴδειν· "Ἴωμεν εἰς Ἀθήνας."
sacrifice a-certain performing to-sing-in-refrain let-us-go to Athens
Ἔοικε γὰρ ὄντως χαλεπὸν εἶναι φωνὴν ἐχούσῃ πόλει
it-seems for really hard to-be voice having with-a-city
καὶ μοῦσαν ἀπεχθάνεσθαι. καὶ γὰρ ὁ Μίνως ἀεὶ διετέλει
and muse to-incur-hatred and for — Minos always continued
κακῶς ἀκούων καὶ λοιδορούμενος ἐν τοῖς Ἀττικοῖς
badly being-spoken-of and reviled in the Attic
θεάτροις, καὶ οὔτε Ἡσίοδος αὐτὸν ὤνησε "βασιλεύτατον"
theaters and neither Hesiod him profited most-kingly
οὔτε Ὅμηρος "ὀαριστὴν Διὸς" προσαγορεύσας, ἀλλ'
nor Homer confidant of-Zeus having-called(-him) but

ἐπικρατήσαντες οἱ τραγικοὶ πολλὴν ἀπὸ τοῦ λογείου καὶ
having-prevailed the tragedians much from the speaking-place and
τῆς σκηνῆς ἀδοξίαν αὐτοῦ κατεσκέδασαν ὡς χαλεποῦ καὶ
the stage disrepute of-him scattered as harsh and
βιαίου γενομένου. καίτοι φασὶ τὸν μὲν Μίνω βασιλέα
violent having-been and-yet they-say — indeed Minos king
καὶ νομοθέτην, δικαστὴν δὲ τὸν Ῥαδάμανθυν εἶναι καὶ
and lawgiver judge and — Rhadamanthys to-be and
φύλακα τῶν ὡρισμένων ὑπ᾽ ἐκείνου δικαίων.
guardian of-the defined by that(-one) just(-ordinances)

V · ARIADNE AND THE LABYRINTH

Theseus offers himself among the tribute. Aegeus gives the pilot a white sail to hoist if his son returns alive. Theseus sails under Aphrodite's guidance, wins Ariadne's love, and with her thread kills the Minotaur and escapes the Labyrinth. Plutarch sets out other versions: Philochorus' Taurus, a general of Minos, defeated in the games, and Cleidemus' war against Deucalion. Of Ariadne some say she hanged herself when abandoned, others that sailors brought her to Naxos to live with Oenarus, priest of Dionysus, others that she died in childbirth on Cyprus, and the Naxians tell of two Ariadnes.

Ἐπεὶ δ᾽ οὖν καθῆκεν ὁ χρόνος τοῦ τρίτου δασμοῦ, καὶ 17
when and then had-come the time of-the third tribute and
παρέχειν ἔδει τοὺς πατέρας ἐπὶ τὸν κλῆρον οἷς ἦσαν
to-present it-was-necessary the fathers for the lot to-whom were
ἡίθεοι παῖδες, αὖθις ἀνεφύοντο τῷ Αἰγεῖ διαβολαὶ πρὸς
youthful children again sprang-up — against-Aegeus accusations among
τοὺς πολίτας, ὀδυρομένους καὶ ἀγανακτοῦντας ὅτι πάντων
the citizens lamenting and being-indignant that of-all
αἴτιος ὢν ἐκεῖνος, οὐδὲν μέρος ἔχει τῆς κολάσεως μόνος,
cause being that(-man) no part has of-the punishment alone

ἀλλ᾽ ἐπὶ νόθῳ καὶ ξένῳ παιδὶ τὴν ἀρχὴν πεποιημένος αὐτοὺς
but on bastard and foreign son the rule having-placed them
περιορᾷ γνησίων ἐρήμους καὶ ἄπαιδας ἀπολειπομένους.
he-disregards of-legitimate(-sons) bereft and childless being-left
ταῦτ᾽ ἠνία τὸν Θησέα, καὶ δικαιῶν μὴ ἀμελεῖν, ἀλλὰ
these-things grieved — Theseus and thinking-it-right not to-neglect but
κοινωνεῖν τῆς τύχης τοῖς πολίταις, ἐπέδωκεν ἑαυτὸν ἄνευ
to-share the fortune with-the citizens he-gave himself without
κλήρου προσελθών. καὶ τοῖς μὲν ἄλλοις τό τε φρόνημα
lot having-come-forward and to-the indeed others the both spirit
θαυμαστὸν ἐφάνη καὶ τὸ δημοτικὸν ἠγάπησαν, ὁ δὲ Αἰγεύς,
admirable appeared and the public-spirit they-loved — and Aegeus
ἐπεὶ δεόμενος καὶ καθικετεύων ἀμετάπειστον ἑώρα καὶ
when begging and beseeching unpersuadable he-saw(-him) and
ἀμετάτρεπτον, ἀπεκλήρωσε τοὺς ἄλλους παῖδας.
inflexible drew-by-lot the other children
Ἑλλάνικος δέ φησιν οὐ τοὺς λαχόντας ἀπὸ κλήρου
Hellanicus but says not those having-been-drawn by lot
καὶ τὰς λαχούσας ἐκπέμπειν τὴν πόλιν, αὐτὸν δὲ τὸν
and those having-been-drawn to-send-out the city himself but —
Μίνω παραγινόμενον ἐκλέγεσθαι καὶ τὸν Θησέα πάντων
Minos coming to-choose and — Theseus of-all
ἑλέσθαι πρῶτον ἐπὶ τοῖς ὁρισθεῖσιν· ὡρισμένον δ᾽ εἶναι
to-pick first on the defined(-terms) it-being-defined and to-be
τὴν μὲν ναῦν Ἀθηναίους παρέχειν, ἐμβάντας δὲ πλεῖν
the indeed ship Athenians to-provide having-embarked and to-sail
σὺν αὐτῷ τοὺς ἠϊθέους μηδὲν ὅπλον ἀρήϊον ἐπιφερομένους,
with him the youths no weapon of-war carrying
ἀπολομένου δὲ τοῦ Μινωταύρου πέρας ἔχειν τὴν ποινήν.
having-perished and — Minotaur end to-have the penalty

Πρότερον μὲν οὖν οὐδεμία σωτηρίας ἐλπὶς ὑπέκειτο· διὸ
before indeed then no of-safety hope lay-beneath wherefore
καὶ μέλαν ἱστίον ἔχουσαν, ὡς ἐπὶ συμφορᾷ προδήλῳ, τὴν
also black sail having as for disaster manifest the
ναῦν ἔπεμπον· τότε δὲ τοῦ Θησέως τὸν πατέρα θαρρύνοντος
ship they-sent then but — Theseus the father encouraging
καὶ μεγαληγοροῦντος ὡς χειρώσεται τὸν Μινώταυρον,
and boasting that he-will-master — Minotaur
ἔδωκεν ἕτερον ἱστίον λευκὸν τῷ κυβερνήτῃ, κελεύσας
he-gave another sail white to-the helmsman having-bidden
ὑποστρέφοντα σωζομένου τοῦ Θησέως ἐπάρασθαι τὸ λευκόν,
returning being-safe — Theseus to-hoist the white
εἰ δὲ μή, τῷ μέλανι πλεῖν καὶ ἀποσημαίνειν τὸ πάθος.
if but not with-the black to-sail and to-signal the calamity
Ὁ δὲ Σιμωνίδης οὐ λευκόν φησιν εἶναι τὸ δοθὲν ὑπὸ
— but Simonides not white says to-be the(-sail) given by
τοῦ Αἰγέως, ἀλλὰ "φοινίκεον ἱστίον ὑγρῷ πεφυρμένον
— Aegeus but crimson sail with-moist dyed
πρίνου ἄνθει ἐριθάλλου·" καὶ τοῦτο τῆς σωτηρίας αὐτῶν
of-holm-oak flower of-luxuriant and this of-the safety of-them
ποιήσασθαι σημεῖον. ἐκυβέρνα δὲ τὴν ναῦν Ἀμαρσυάδας
to-make sign steered and the ship Amarsyas'-son
Φέρεκλος, ὥς φησι Σιμωνίδης. Φιλόχορος δὲ παρὰ Σκίρου
Phereclus as says Simonides Philochorus but from Scirus
φησὶν ἐκ Σαλαμῖνος τὸν Θησέα λαβεῖν κυβερνήτην
says from Salamis — Theseus to-have-taken helmsman
μὲν Ναυσίθοον, πρωρέα δὲ Φαίακα, μηδέπω τότε τῶν
indeed Nausithous lookout and Phaeax not-yet then the
Ἀθηναίων προσεχόντων τῇ θαλάττῃ· καὶ γὰρ εἶναι τῶν
Athenians attending to-the sea and for to-be of-the
ἠϊθέων ἕνα Μενέσθην Σκίρου θυγατριδοῦν. μαρτυρεῖ δὲ
youths one Menesthes of-Scirus daughter's-son bear-witness and

τούτοις ἡρῷα Ναυσιθόου καὶ Φαίακος εἰσαμένου
to-these(-things) hero-shrines of-Nausithous and Phaeax having-set-up
Θησέως Φαληροῖ πρὸς τῷ τοῦ Σκίρου ἱερῷ, καὶ τὴν
Theseus at-Phalerum near the — of-Scirus sanctuary and the
ἑορτὴν τὰ Κυβερνήσια φασιν ἐκείνοις τελεῖσθαι.
festival the Cybernesia they-say for-them to-be-held
18 Γενομένου δὲ τοῦ κλήρου παραλαβὼν τοὺς λαχόντας
having-taken-place and the lot having-taken-with(-him) those drawn
ὁ Θησεὺς ἐκ τοῦ πρυτανείου, καὶ παρελθὼν εἰς Δελφίνιον,
— Theseus from the prytaneum and having-gone to Delphinium
ἔθηκεν ὑπὲρ αὐτῶν τῷ Ἀπόλλωνι τὴν ἱκετηρίαν. ἦν δὲ
placed for them — to-Apollo the suppliant-branch it-was and
κλάδος ἀπὸ τῆς ἱερᾶς ἐλαίας, ἐρίῳ λευκῷ κατεστεμμένος.
branch from the sacred olive with-wool white wreathed
εὐξάμενος δὲ κατέβαινεν ἕκτῃ μηνὸς ἐπὶ θάλασσαν
having-prayed and he-went-down on-sixth of-month to sea
ἱσταμένου Μουνυχιῶνος, ᾗ καὶ νῦν ἔτι τὰς κόρας
beginning of-Munychion on-which also now still the girls
πέμπουσιν ἱλασομένας εἰς Δελφίνιον. λέγεται δὲ αὐτῷ τὸν
they-send to-propitiate to Delphinium it-is-said and to-him the
μὲν ἐν Δελφοῖς ἀνελεῖν θεὸν Ἀφροδίτην καθηγεμόνα
indeed at Delphi to-have-answered god Aphrodite (as)-guide
ποιεῖσθαι καὶ παρακαλεῖν συνέμπορον, θύοντι δὲ πρὸς
to-make and to-invite (as)-fellow-traveler sacrificing and by
θαλάσσῃ τὴν αἶγα θήλειαν οὖσαν αὐτομάτως τράγον
sea the she-goat female being of-itself he-goat
γενέσθαι· διὸ καὶ καλεῖσθαι τὴν θεὸν Ἐπιτραγίαν.
to-have-become wherefore also to-be-called the goddess Epitragia
19 Ἐπεὶ δὲ κατέπλευσεν εἰς Κρήτην, ὡς μὲν οἱ πολλοὶ
when and he-sailed-down to Crete as indeed the many
γράφουσι καὶ ᾄδουσι, παρὰ τῆς Ἀριάδνης ἐρασθείσης τὸ
write and sing from — Ariadne having-fallen-in-love the

λίνον λαβών, καὶ διδαχθεὶς ὡς ἔστι τοῦ λαβυρίνθου
thread having-taken and having-been-taught how it-is-possible of-the labyrinth
τοὺς ἑλιγμοὺς διεξελθεῖν, ἀπέκτεινε τὸν Μινώταυρον καὶ
the windings to-go-through he-killed — Minotaur and
ἀπέπλευσε τὴν Ἀριάδνην ἀναλαβὼν καὶ τοὺς ἠϊθέους.
sailed-away — Ariadne having-taken-up and the youths
Φερεκύδης δὲ καὶ τὰ ἐδάφη τῶν Κρητικῶν νεῶν φησιν
Pherecydes and also the bottoms of-the Cretan ships says
ἐκκόψαι τὸν Θησέα, τὴν δίωξιν ἀφαιρούμενον. Δήμων
to-have-knocked-out — Theseus the pursuit taking-away Demon
δὲ καὶ τὸν Ταῦρον ἀναιρεθῆναί φησι τὸν τοῦ Μίνω

μεγάλην ῥοπὴν ὁ πόλεμος τῷ νεωτερισμῷ προσέθηκε,
great impetus the war to-the revolution added
τῶν Τυνδαριδῶν ἐπελθόντων· οἱ δὲ καὶ ὅλως φασὶν
the Tyndaridae having-invaded the(-ones) and even wholly say
ὑπὸ τούτου πεισθέντας ἐλθεῖν.
by this(-man) having-been-persuaded to-have-come
Τὸ μὲν οὖν πρῶτον οὐδὲν ἠδίκουν, ἀλλ᾽ ἀπήτουν τὴν
the indeed then first nothing they-wronged but demanded the
ἀδελφήν. ἀποκριναμένων δὲ τῶν ἐν ἄστει μήτε ἔχειν μήτε
sister having-answered and those in town neither to-have(-her) nor
γινώσκειν ὅπου καταλέλειπται, πρὸς πόλεμον ἐτράποντο.
to-know where she-has-been-left to war they-turned
φράζει δὲ αὐτοῖς Ἀκάδημος ᾑσθημένος ᾧ δή τινι τρόπῳ
shows and to-them Academus having-learned by-what indeed some way
τὴν ἐν Ἀφίδναις κρύψιν αὐτῆς. ὅθεν ἐκείνῳ τε τιμαὶ
the in Aphidnae concealment of-her whence for-that(-man) both honors
ζῶντι παρὰ τῶν Τυνδαριδῶν ἐγένοντο, καὶ πολλάκις ὕστερον
living from the Tyndaridae arose and often later
εἰς τὴν Ἀττικὴν ἐμβαλόντες Λακεδαιμόνιοι καὶ πᾶσαν ὁμοῦ
into — Attica having-invaded Lacedaemonians and all together
τὴν χώραν τέμνοντες, τῆς Ἀκαδημείας ἀπείχοντο διὰ τὸν
the country ravaging — Academy spared because-of —
Ἀκάδημον. ὁ δὲ Δικαίαρχος Ἐχεδήμου φησὶ καὶ Μαράθου
Academus — but Dicaearchus Echedemus says and Marathus
συστρατευσάντων τότε τοῖς Τυνδαρίδαις ἐξ Ἀρκαδίας, ἀφ᾽
having-campaigned-with then with-the Tyndaridae from Arcadia from
οὗ μὲν Ἐχεδημίαν προσαγορευθῆναι τὴν νῦν Ἀκαδήμειαν,
whom indeed Echedemia to-have-been-called the now Academy
ἀφ᾽ οὗ δὲ Μαραθῶνα τὸν δῆμον, ἐπιδόντος ἑαυτὸν ἑκουσίως
from whom and Marathon the deme having-given himself willingly
κατά τι λόγιον σφαγιάσασθαι πρὸ τῆς παρατάξεως.
according-to some oracle to-have-been-sacrificed before the battle-line

Ἐλθόντες οὖν ἐπὶ τὰς Ἀφίδνας καὶ μάχῃ κρατήσαντες
having-come then to — Aphidnae and in-battle having-conquered
ἐξεῖλον τὸ χωρίον. ἐνταῦθά φασι καὶ Ἄλυκον πεσεῖν τὸν
they-took the place there they-say also Alycus to-have-fallen the
Σκείρωνος υἱόν, συστρατευόμενον τότε τοῖς Διοσκούροις,
of-Sciron son campaigning-with then with-the Dioscuri
ἀφ' οὗ καὶ τόπον τῆς Μεγαρικῆς Ἄλυκον καλεῖσθαι τοῦ
from whom also place of-the Megarian(-land) Alycus to-be-called the
σώματος ἐνταφέντος. Ἡρέας δ' ὑπὸ Θησέως αὐτοῦ περὶ
body having-been-buried Hereas but by Theseus himself near
Ἀφίδνας ἀποθανεῖν τὸν Ἄλυκον ἱστόρηκε, καὶ μαρτύρια
Aphidnae to-have-died — Alycus has-recorded and as-witnesses
ταυτὶ τὰ ἔπη παρέχεται περὶ τοῦ Ἀλύκου·
these the verses offers about — Alycus

τὸν ἐν εὐρυχόρῳ ποτ' Ἀφίδνῃ
the(-one) in spacious once Aphidna
μαρνάμενον Θησεὺς Ἑλένης ἕνεκ' ἠϋκόμοιο κτεῖνεν.
fighting Theseus of-Helen for-the-sake fair-haired slew

Οὐ μὴν εἰκὸς αὐτοῦ Θησέως παρόντος ἁλῶναι τήν
not indeed likely himself Theseus being-present to-have-been-captured the
τε μητέρα καὶ τὰς Ἀφίδνας.
both mother and — Aphidnae

With Aphidnae taken and Athens afraid, Menestheus persuades the people to receive the Dioscuri, who ask only to be initiated, are adopted by Aphidnus and honored as the Anakes; Aethra is led captive to Sparta and Troy. Released by Heracles' plea to Aidoneus, Theseus returns to find the city turned against him. He sends his sons to Euboea, curses the Athenians at Gargettus, and sails to Scyros, where Lycomedes throws him from a cliff or he slips, and Menestheus reigns. Later the Athenians honor him as a hero; after the Persian wars an oracle bids them recover his bones, and Cimon finds them by an eagle and brings them home.

Ἐχομένων δ' οὖν τῶν Ἀφιδνῶν καὶ τῶν ἐν ἄστει δεδιότων, 33
being-held and then — Aphidnae and those in town fearing
ἔπεισε τὸν δῆμον ὁ Μενεσθεὺς δέχεσθαι τῇ πόλει καὶ
persuaded the people — Menestheus to-receive(-them) into-the city and
φιλοφρονεῖσθαι τοὺς Τυνδαρίδας, ὡς μόνῳ Θησεῖ βίας
to-welcome the Tyndaridae as only on-Theseus violence
ὑπάρξαντι πολεμοῦντας, τῶν δὲ ἄλλων εὐεργέτας ὄντας
having-begun warring of-the and other benefactors being
ἀνθρώπων καὶ σωτῆρας. ἐμαρτύρει δὲ αὐτῷ καὶ τὰ
of-men and saviors bore-witness and to-him also the(-things)
παρ' ἐκείνων· οὐδὲν γὰρ ἠξίωσαν ἁπάντων κρατοῦντες
from those nothing for they-claimed all mastering
ἀλλ' ἢ μυηθῆναι, μηδὲν ἧττον Ἡρακλέους τῇ πόλει
but than to-be-initiated in-nothing less than-Heracles to-the city
προσήκοντες. καὶ τοῦτο οὖν ὑπῆρξεν αὐτοῖς, Ἀφίδνου
being-related and this then belonged to-them Aphidnus
ποιησαμένου παῖδας, ὡς Πύλιος Ἡρακλέα· καὶ τιμὰς
having-made(-them) sons as Pylius Heracles and honors
ἰσοθέους ἔσχον, Ἄνακες προσαγορευθέντες, ἢ διὰ
godlike they-had Anakes having-been-called either because-of
τὰς γενομένας ἀνοχὰς ἢ διὰ τὴν ἐπιμέλειαν καὶ
the having-come-about truces or because-of the care and

κηδεμονίαν τοῦ μηδένα κακῶς παθεῖν στρατιᾶς τοσαύτης
concern of-the no-one badly to-suffer army so-great
ἔνδον οὔσης· ἀνακῶς γὰρ ἔχειν τοὺς ἐπιμελομένους ἢ
within being anakos for to-be those taking-care or
φυλάττοντας ὁτιοῦν· καὶ τοὺς βασιλεῖς ἴσως ἄνακτας
guarding anything and the kings perhaps lords
διὰ τοῦτο καλοῦσιν. εἰσὶ δὲ οἱ λέγοντες διὰ τὴν
because-of this they-call there-are and those saying because-of the
τῶν ἀστέρων ἐπιφάνειαν Ἄνακας ὀνομάζεσθαι· τὸ γὰρ ἄνω
of-the stars appearance Anakes to-be-named the for up
τοὺς Ἀττικοὺς ἀνεκὰς ὀνομάζειν, καὶ ἀνέκαθεν τὸ ἄνωθεν.
the Attic(-people) anekas to-name and anekathen the from-above
34 Αἴθραν δὲ τὴν Θησέως μητέρα γενομένην αἰχμάλωτον
Aethra and the of-Theseus mother having-become captive
ἀπαχθῆναι λέγουσιν εἰς Λακεδαίμονα, κἀκεῖθεν εἰς Τροίαν
to-have-been-led-off they-say to Lacedaemon and-thence to Troy
μετὰ Ἑλένης· καὶ μαρτυρεῖν Ὅμηρον, ἕπεσθαι τῇ Ἑλένῃ
with Helen and to-bear-witness Homer to-follow — Helen
φάμενον·
saying

Αἴθρην Πιτθῆος θύγατρα Κλυμένην τε βοῶπιν.
Aethra of-Pittheus daughter Clymene and ox-eyed

Οἱ δὲ καὶ τοῦτο τὸ ἔπος διαβάλλουσι καὶ τὴν περὶ
the(-others) and also this the verse discredit and the about
Μουνύχου μυθολογίαν, ὃν ἐκ Δημοφῶντος Λαοδίκης
Munychus tale whom from Demophon Laodice
κρύφα τεκούσης ἐν Ἰλίῳ συνεκθρέψαι τὴν Αἴθραν λέγουσιν.
secretly having-borne in Ilium to-have-helped-rear — Aethra they-say
ἴδιον δέ τινα καὶ παρηλλαγμένον ὅλως λόγον ὁ Ἴστρος
peculiar but a-certain and altered wholly account — Istrus

ἐν τῇ τρισκαιδεκάτῃ τῶν Ἀττικῶν ἀναφέρει περὶ Αἴθρας,
in the thirteenth(-book) of-the Attica relates about Aethra
ὡς ἐνίων λεγόντων Ἀλέξανδρον μὲν τὸν Πάριν ἐν Θεσσαλίᾳ
as some saying Alexander indeed — Paris in Thessaly
ὑπ' Ἀχιλλέως καὶ Πατρόκλου μάχῃ κρατηθῆναι παρὰ
by Achilles and Patroclus in-battle to-have-been-conquered by
τὸν Σπερχειόν, Ἕκτορα δὲ τὴν Τροιζηνίων πόλιν λαβόντα
the Spercheius Hector and the of-Troezenians city having-taken
διαρπάσαι καὶ τὴν Αἴθραν ἀπάγειν ἐκεῖ καταλειφθεῖσαν.
to-have-plundered and — Aethra to-lead-off there left-behind
ἀλλὰ τοῦτο μὲν ἔχει πολλὴν ἀλογίαν.
but this indeed has much unreasonableness
Ἀϊδωνέως δὲ τοῦ Μολοσσοῦ ξενίζοντος Ἡρακλέα καὶ 35
Aidoneus and the Molossian entertaining Heracles and
τῶν περὶ τὸν Θησέα καὶ Πειρίθουν κατὰ τύχην
of-the(-things) about — Theseus and Peirithous by chance
μνησθέντος, ἅ τε πράξοντες ἦλθον καὶ ἃ
having-mentioned what both intending-to-do they-had-come and what
φωραθέντες ἔπαθον, βαρέως ἤνεγκεν ὁ Ἡρακλῆς, τοῦ
having-been-detected they-suffered grievously took(-it) — Heracles of-the(-one)
μὲν ἀπολωλότος ἀδόξως, τοῦ δὲ ἀπολλυμένου. καὶ περὶ
indeed having-perished ingloriously of-the(-other) and perishing and about
Πειρίθου μὲν οὐδὲν ᾤετο ποιήσειν πλέον ἐγκαλῶν, τὸν
Peirithous indeed nothing he-thought to-accomplish more complaining —
δὲ Θησέα παρῃτεῖτο καὶ χάριν ἠξίου ταύτην αὐτῷ δοθῆναι.
but Theseus he-begged-off and favor asked this to-him to-be-given
συγχωρήσαντος δὲ τοῦ Ἀϊδωνέως, λυθεὶς ὁ Θησεὺς ἐπανῆλθε
having-conceded and — Aidoneus released — Theseus came-back
μὲν εἰς τὰς Ἀθήνας, οὐδέπω παντάπασι τῶν φίλων αὐτοῦ
indeed to — Athens not-yet altogether the friends of-him
κεκρατημένων, καὶ ὅσα ὑπῆρχε τεμένη πρότερον αὐτῷ
having-been-mastered and as-many-as were precincts before for-him

τῆς πόλεως ἐξελούσης ἅπαντα καθιέρωσε τῷ Ἡρακλεῖ καὶ
the city having-set-apart all he-consecrated — to-Heracles and
προσηγόρευσεν ἀντὶ Θησείων Ἡράκλεια, πλὴν τεσσάρων,
named(-them) instead-of Theseia Heracleia except four
ὡς Φιλόχορος ἱστόρηκεν. αὖθις δὲ βουλόμενος ὡς πρότερον
as Philochorus has-recorded again and wishing as before
ἄρχειν καὶ καθηγεῖσθαι τοῦ πολιτεύματος εἰς στάσεις ἐνέπεσε
to-rule and to-lead the commonwealth into factions he-fell
καὶ ταραχάς, οὓς μὲν ἀπέλιπε μισοῦντας αὐτὸν εὑρίσκων
and disturbances those indeed he-had-left hating him he-found
τὸ μὴ φοβεῖσθαι τῷ μισεῖν προσειληφότας, ἐν δὲ τῷ δήμῳ
the not to-fear to-the hating having-added in and the people
πολὺ τὸ διεφθαρμένον ὁρῶν καὶ θεραπεύεσθαι βουλόμενον
much the corrupted seeing and to-be-courted wishing
ἀντὶ τοῦ ποιεῖν σιωπῇ τὸ προσταττόμενον. ἐπιχειρῶν
instead-of the doing in-silence the(-thing) commanded attempting
οὖν βιάζεσθαι κατεδημαγωγεῖτο καὶ κατεστασιάζετο. καὶ
then to-use-force he-was-overcome-by-demagogues and was-overthrown-by-faction and
τέλος ἀπογνοὺς τὰ πράγματα τοὺς μὲν παῖδας εἰς Εὔβοιαν
at-last despairing-of the affairs the indeed children to Euboea
ὑπεξέπεμψε πρὸς Ἐλεφήνορα τὸν Χαλκώδοντος, αὐτὸς
he-sent-away-secretly to Elephenor the(-son) of-Chalcodon himself
δὲ Γαργηττοῖ κατὰ τῶν Ἀθηναίων ἀρὰς θέμενος, οὗ νῦν
but at-Gargettus against the Athenians curses having-laid where now
ἔστι τὸ καλούμενον Ἀρατήριον, εἰς Σκῦρον ἐξέπλευσεν,
is the called Araterion to Scyros sailed-away
οὔσης αὐτῷ πρὸς τοὺς ἐκεῖ φιλίας, ὡς ᾤετο, καὶ
there-being for-him with those there friendship as he-thought and
χωρίων ἐν τῇ νήσῳ πατρῴων. ἐβασίλευε δὲ Λυκομήδης
of-estates in the island ancestral reigned and Lycomedes
τότε τῶν Σκυρίων. πρὸς τοῦτον οὖν ἀφικόμενος ἐζήτει

τοὺς ἀγροὺς ἀπολαβεῖν, ὡς αὐτόθι κατοικήσων· ἔνιοι δέ
the lands to-recover as there intending-to-settle some but
φασι παρακαλεῖν αὐτὸν βοηθεῖν ἐπὶ τοὺς Ἀθηναίους. ὁ
say to-have-asked him to-help against the Athenians —
δὲ Λυκομήδης, εἴτε δείσας τὴν δόξαν τοῦ ἀνδρός,
but Lycomedes whether having-feared the reputation of-the man
εἴτε τῷ Μενεσθεῖ χαριζόμενος, ἐπὶ τὰ ἄκρα τῆς χώρας
or — to-Menestheus gratifying to the heights of-the country
ἀναγαγὼν αὐτόν, ὡς ἐκεῖθεν ἐπιδείξων τοὺς ἀγρούς,
having-led-up him as from-there intending-to-show the lands
ὦσε κατὰ τῶν πετρῶν καὶ διέφθειρεν. ἔνιοι δ' ἀφ'
pushed(-him) down the rocks and destroyed(-him) some but by
ἑαυτοῦ πεσεῖν φασι σφαλέντα, μετὰ δεῖπνον, ὥσπερ
himself to-have-fallen say having-slipped after dinner as
εἰώθει, περιπατοῦντα. καὶ παραυτίκα μὲν οὐδεὶς ἔσχεν
he-was-accustomed walking-about and immediately indeed no-one had
αὐτοῦ λόγον οὐδένα τεθνηκότος, ἀλλὰ τῶν μὲν Ἀθηναίων
of-him account none having-died but the indeed Athenians
ἐβασίλευσε Μενεσθεύς, οἱ δὲ παῖδες ἰδιωτεύοντες Ἐλεφήνορι
reigned-over Menestheus the and children living-privately with-Elephenor
συνεστράτευσαν εἰς Ἴλιον. ἐκεῖ δὲ Μενεσθέως ἀποθανόντος
campaigned to Ilium there and Menestheus having-died
ἐπανελθόντες αὐτοὶ τὴν βασιλείαν ἀνεκομίσαντο. χρόνοις
having-returned themselves the kingship recovered in-times
δ' ὕστερον Ἀθηναίους ἄλλα τε παρέστησεν ὡς ἥρωα
but later Athenians other-things both induced as hero
τιμᾶν Θησέα, καὶ τῶν ἐν Μαραθῶνι πρὸς Μήδους
to-honor Theseus and of-those at Marathon against Medes
μαχομένων ἔδοξαν οὐκ ὀλίγοι φάσμα Θησέως ἐν ὅπλοις
fighting thought not few apparition of-Theseus in arms
καθορᾶν πρὸ αὐτῶν ἐπὶ τοὺς βαρβάρους φερόμενον.
to-see before them against the barbarians rushing

36 Μετὰ δὲ τὰ Μηδικὰ Φαίδωνος ἄρχοντος μαντευομένοις
after and the Persian(-wars) Phaedo being-archon consulting
τοῖς Ἀθηναίοις ἀνεῖλεν ἡ Πυθία τὰ Θησέως ἀναλαβεῖν
to-the Athenians answered — Pythia the of-Theseus to-take-up
ὀστᾶ καὶ θεμένους ἐντίμως παρ᾽ αὑτοῖς φυλάττειν. ἦν
bones and having-laid(-them) honorably among themselves to-guard(-them) was
δὲ καὶ λαβεῖν ἀπορία καὶ γνῶναι τὸν τάφον ἀμιξίᾳ
and both to-take difficulty and to-recognize the tomb from-the-unsociability
καὶ χαλεπότητι τῶν ἐνοικούντων Δολόπων. οὐ μὴν ἀλλὰ
and harshness of-the inhabiting Dolopians not indeed but
Κίμων ἑλὼν τὴν νῆσον, ὡς ἐν τοῖς περὶ ἐκείνου
Cimon having-taken the island as in the(-books) about him
γέγραπται, καὶ φιλοτιμούμενος ἐξανευρεῖν, ἀετοῦ τινα
it-has-been-written and being-ambitious to-discover eagle a-certain
τόπον βουνοειδῆ κόπτοντος, ὥς φασι, τῷ στόματι καὶ
place mound-like pecking as they-say with-the beak and
διαστέλλοντος τοῖς ὄνυξι θείᾳ τινὶ τύχῃ συμφρονήσας
tearing with-the talons by-divine some fortune having-understood
ἀνέσκαψεν. εὑρέθη δὲ θήκη τε μεγάλου σώματος αἰχμή
dug-up was-found and coffin both of-great body spear-point
τε παρακειμένη χαλκῆ καὶ ξίφος. κομισθέντων δὲ τούτων
and lying-beside bronze and sword having-been-brought and these(-things)
ὑπὸ Κίμωνος ἐπὶ τῆς τριήρους, ἡσθέντες οἱ Ἀθηναῖοι
by Cimon on the trireme pleased the Athenians
πομπαῖς τε λαμπραῖς ἐδέξαντο καὶ θυσίαις ὥσπερ αὐτὸν
with-processions both splendid received(-them) and sacrifices as-if himself
ἐπανερχόμενον εἰς τὸ ἄστυ. καὶ κεῖται μὲν ἐν μέσῃ τῇ
returning to the town and he-lies indeed in middle the
πόλει παρὰ τὸ νῦν γυμνάσιον, ἔστι δὲ φύξιμον οἰκέταις καὶ
city by the now gymnasium it-is and a-refuge for-slaves and
πᾶσι τοῖς ταπεινοτέροις καὶ δεδιόσι κρείττονας, ὡς καὶ τοῦ
for-all the humbler and fearing (the)-stronger as also —

Θησέως προστατικοῦ τινος καὶ βοηθητικοῦ γενομένου καὶ
Theseus protector some and helper having-been and
προσδεχομένου φιλανθρώπως τὰς τῶν ταπεινοτέρων δεήσεις.
receiving kindly the of-the humbler petitions
θυσίαν δὲ ποιοῦσιν αὐτῷ τὴν μεγίστην ὀγδόῃ Πυανεψιῶνος,
sacrifice and they-make to-him the greatest on-eighth of-Pyanepsion
ἐν ᾗ μετὰ τῶν ἠϊθέων ἐκ Κρήτης ἐπανῆλθεν. οὐ μὴν
on which with the youths from Crete he-came-back not indeed
ἀλλὰ καὶ ταῖς ἄλλαις ὀγδόαις τιμῶσιν αὐτόν, ἢ διὰ
but also on-the other eighths they-honor him either because-of
τὸ πρῶτον ἐκ Τροιζῆνος ἀφικέσθαι τῇ ὀγδόῃ τοῦ
the first from Troezen to-have-come on-the eighth of-the
Ἑκατομβαιῶνος, ὡς ἱστόρηκε Διόδωρος ὁ περιηγητής, ἢ
Hecatombaeon as has-recorded Diodorus the topographer or
νομίζοντες ἑτέρου μᾶλλον ἐκείνῳ προσήκειν τὸν ἀριθμὸν
thinking than-another rather to-him to-belong the number
τοῦτον ἐκ Ποσειδῶνος γεγονέναι λεγομένῳ. καὶ γὰρ
this from Poseidon to-have-been-born said and for
Ποσειδῶνα ταῖς ὀγδόαις τιμῶσιν. ἡ γὰρ ὀγδοὰς κύβος ἀπ᾽
Poseidon on-the eighths they-honor the for eight cube from
ἀρτίου πρῶτος οὖσα καὶ τοῦ πρώτου τετραγώνου διπλασία,
even first being and of-the first square double
τὸ μόνιμον καὶ δυσκίνητον οἰκεῖον ἔχει τῆς τοῦ θεοῦ
the steadfast and hard-to-move proper has of-the of-the god
δυνάμεως, ὃν ἀσφάλειον καὶ γαιήοχον προσονομάζομεν.
power whom securer and earth-holder we-call

PLUTARCH

ΡΩΜΥΛΟΣ

Romulus

Writers disagree over who named Rome and why: Pelasgians, a Trojan woman named Roma who burned the ships, a son of Odysseus and Circe, or Romulus. The most credited account, from Diocles and Fabius Pictor, runs: Amulius seizes the throne of Alba from his brother Numitor and makes his niece a Vestal, but she bears twins. Amulius orders them exposed; the trough comes ashore by the fig tree, where a she-wolf suckles them and a woodpecker feeds them, and Faustulus' wife Larentia rears them, whose name lupa, others say, turned the tale toward the fabulous.

Τὸ μέγα τῆς Ῥώμης ὄνομα καὶ δόξῃ διὰ πάντων 1
the great — of-Rome name and in-glory through all
ἀνθρώπων κεχωρηκὸς ἀφ' ὅτου καὶ δι' ἣν αἰτίαν τῇ
men having-spread from what and through which cause to-the
πόλει γέγονεν, οὐχ ὁμολόγηται παρὰ τοῖς συγγραφεῦσιν,
city it-has-come-about not is-agreed among the historians
ἀλλ' οἱ μὲν Πελασγοὺς ἐπὶ πλεῖστα τῆς οἰκουμένης
but the(-ones) indeed Pelasgians over most of-the inhabited(-world)
πλανηθέντας ἀνθρώπων τε πλείστων κρατήσαντας, αὐτόθι
having-wandered men and most having-mastered there
κατοικῆσαι, καὶ διὰ τὴν ἐν τοῖς ὅπλοις ῥώμην οὕτως
to-have-settled and because-of the in the arms strength thus
ὀνομάσαι τὴν πόλιν, οἱ δὲ Τροίας ἁλισκομένης
to-have-named the city the(-others) and Troy being-taken
διαφυγόντας ἐνίους καὶ πλοίων ἐπιτυχόντας ὑπὸ πνευμάτων
having-escaped some and ships having-found by winds
τῇ Τυρρηνίᾳ προσπεσεῖν φερομένους, καὶ περὶ τὸν
on-the Tyrrhenian(-coast) to-have-fallen being-carried and near the
Θύμβριν ποταμὸν ὁρμίσασθαι· ταῖς δὲ γυναιξὶν αὐτῶν,
Tiber river to-have-anchored the and women of-them
ἀπορουμέναις ἤδη καὶ δυσανασχετούσαις πρὸς τὴν
being-at-a-loss already and chafing at the

θάλασσαν, ὑποθέσθαι μίαν, ἣ καὶ γένει προὔχειν καὶ
sea to-have-proposed one who both in-birth to-excel and
φρονεῖν ἐδόκει μάλιστα, Ῥώμην ὄνομα, καταπρῆσαι τὰ
to-be-wise seemed most Roma by-name to-burn the
πλοῖα· πραχθέντος δὲ τούτου πρῶτον μὲν ἀγανακτεῖν τοὺς
ships having-been-done and this first indeed to-be-angry the
ἄνδρας, ἔπειτα δι' ἀνάγκην ἱδρυνθέντας περὶ τὸ Παλλάντιον,
men then by necessity having-settled near — Palatium
ὡς ὀλίγῳ χρόνῳ κρεῖττον ἐλπίδος ἔπραττον, ἀγαθῆς τε
as in-little time better than-hope they-fared good both
πειρώμενοι χώρας καὶ δεχομένων αὐτοὺς τῶν προσοίκων,
trying land and receiving them the neighbors
ἄλλην τε τιμὴν ἀπονέμειν τῇ Ῥώμῃ καὶ τὴν πόλιν ἀπ'
other both honor to-assign — to-Roma and the city from
αὐτῆς, ὡς αἰτίας, προσαγορεύειν. ἐξ ἐκείνου τε παραμένειν
her as cause to-call from that and to-remain
λέγουσι τὸ τοὺς συγγενεῖς τὰς γυναῖκας καὶ οἰκείους
they-say the(-custom) the kinsmen the women and relatives
ἄνδρας ἀσπάζεσθαι τοῖς στόμασι· καὶ γὰρ ἐκείνας, ὅτε τὰ
men to-greet with-the mouths and for those(-women) when the
πλοῖα κατέπρησαν, οὕτως ἀσπάζεσθαι καὶ φιλοφρονεῖσθαι
ships they-burned thus to-greet and to-caress
τοὺς ἄνδρας, δεομένας αὐτῶν καὶ παραιτουμένας τὴν ὀργήν.
the men begging them and deprecating the anger

2 Ἄλλοι δὲ Ῥώμην, Ἰταλοῦ θυγατέρα καὶ Λευκαρίας, οἱ
others and Roma of-Italus daughter and of-Leucaria the(-others)
δέ, Τηλέφου τοῦ Ἡρακλέους, Αἰνείᾳ γαμηθεῖσαν, οἱ
and of-Telephus the(-son) of-Heracles to-Aeneas having-been-married the(-others)
δ' Ἀσκανίου τοῦ Αἰνείου, λέγουσι τοὔνομα θέσθαι
and of-Ascanius the(-son) of-Aeneas say the-name to-have-given
τῇ πόλει· οἱ δὲ Ῥωμανόν, Ὀδυσσέως παῖδα καὶ
to-the city the(-others) and Romanus of-Odysseus son and

Κίρκης, οἰκίσαι τὴν πόλιν· οἱ δὲ Ῥῶμον ἐκ
of-Circe to-have-founded the city the(-others) and Romus from
Τροίας ὑπὸ Διομήδους ἀποσταλέντα τὸν Ἡμαθίωνος,
Troy by Diomedes having-been-sent the(-son) of-Emathion
οἱ δὲ Ῥῶμιν Λατίνων τύραννον, ἐκβαλόντα Τυρρηνοὺς
the(-others) and Romis of-Latins tyrant having-expelled Tyrrhenians
τοὺς εἰς Λυδίαν μὲν ἐκ Θετταλίας, ἐκ δὲ Λυδίας εἰς
those to Lydia indeed from Thessaly from and Lydia into
Ἰταλίαν παραγενομένους. οὐ μὴν οὐδ' οἱ Ῥωμύλον
Italy having-come not indeed not-even those Romulus
τῷ δικαιοτάτῳ τῶν λόγων ἀποφαίνοντες ἐπώνυμον τῆς
by-the most-just of-the accounts declaring eponym of-the
πόλεως ὁμολογοῦσι περὶ τοῦ γένους αὐτοῦ. οἱ μὲν γὰρ
city agree about the birth of-him the(-ones) indeed for
Αἰνείου καὶ Δεξιθέας τῆς Φόρβαντος υἱὸν ὄντα νήπιον
of-Aeneas and Dexithea the(-daughter) of-Phorbas son being infant
εἰς Ἰταλίαν κομισθῆναι, καὶ τὸν ἀδελφὸν αὐτοῦ Ῥῶμον·
to Italy to-have-been-brought and the brother of-him Romus
ἐν δὲ τῷ ποταμῷ πλημμύραντι τῶν ἄλλων σκαφῶν
in and the river having-flooded the other boats
διαφθαρέντων, ἐν ᾧ δὲ ἦσαν οἱ παῖδες εἰς μαλακὴν
having-been-destroyed in which and were the boys onto soft
ἀποκλινθέντος ὄχθην ἀτρέμα, σωθέντας ἀπροσδοκήτως,
having-been-turned bank gently having-been-saved unexpectedly
ὀνομασθῆναι Ῥώμην. οἱ δὲ Ῥώμην θυγατέρα τῆς
to-have-been-named Rome the(-others) and Roma daughter of-the
Τρωάδος ἐκείνης, Λατίνῳ τῷ Τηλεμάχου γαμηθεῖσαν
Trojan(-woman) that to-Latinus the(-son) of-Telemachus having-been-married
τεκεῖν τὸν Ῥωμύλον· οἱ δ' Αἰμυλίαν τὴν
to-have-borne — Romulus the(-others) and Aemilia the(-daughter)
Αἰνείου καὶ Λαβινίας Ἄρει συγγενομένην· οἱ δὲ
of-Aeneas and Lavinia with-Ares having-lain the(-others) and

μυθώδη παντάπασι περὶ τῆς γενέσεως διεξίασι. Ταρχετίῳ
fabulous(-things) altogether about the birth relate to-Tarchetius
γὰρ Ἀλβανῶν βασιλεῖ παρανομωτάτῳ καὶ ὠμοτάτῳ φάσμα
for of-Albans king most-lawless and most-cruel apparition
δαιμόνιον οἴκοι γενέσθαι· φαλλὸν γὰρ ἐκ τῆς ἑστίας
divine at-home to-have-appeared phallus for from the hearth
ἀνασχεῖν καὶ διαμένειν ἐπὶ πολλὰς ἡμέρας· εἶναι δὲ
to-have-risen-up and to-have-remained for many days to-be and
Τηθύος ἐν Τυρρηνίᾳ χρηστήριον, ἀφ' οὗ κομισθῆναι τῷ
of-Tethys in Tyrrhenia an-oracle from which to-have-been-brought —
Ταρχετίῳ χρησμὸν ὥστε συμμῖξαι τῷ φάσματι παρθένον·
to-Tarchetius oracle so-that to-unite with-the apparition maiden
ἔσεσθαι γὰρ ἐξ αὐτῆς παῖδα κλεινότατον ἀρετῇ καὶ
there-would-be for from her son most-famous in-valor and
τύχῃ καὶ ῥώμῃ διαφέροντα. φράσαντος οὖν τὸ μάντευμα
fortune and strength excelling having-told then the prophecy
τοῦ Ταρχετίου μιᾷ τῶν θυγατέρων καὶ συγγενέσθαι τῷ
— Tarchetius to-one of-the daughters and to-consort with-the
φαλλῷ προστάξαντος, αὐτὴν μὲν ἀπαξιῶσαι, θεράπαιναν
phallus having-ordered her indeed to-have-disdained(-it) maidservant
δὲ εἰσπέμψαι. τὸν δὲ Ταρχέτιον, ὡς ἔγνω, χαλεπῶς
but to-have-sent-in — and Tarchetius when he-knew hard
φέροντα συλλαβεῖν μὲν ἀμφοτέρας ἐπὶ θανάτῳ, τὴν δ'
taking(-it) to-have-seized indeed both for death — but
Ἑστίαν ἰδόντα κατὰ τοὺς ὕπνους ἀπαγορεύουσαν αὐτῷ
Hestia having-seen in the sleep forbidding to-him
τὸν φόνον, ἱστόν τινα παρεγγυῆσαι ταῖς κόραις ὑφαίνειν
the murder loom a-certain to-have-charged to-the girls to-weave
δεδεμέναις, ὡς ὅταν ἐξυφήνωσι, τότε δοθησομένας πρὸς
being-bound as when they-finish-weaving then to-be-given for
γάμον. ἐκείνας μὲν οὖν δι' ἡμέρας ὑφαίνειν, ἑτέρας δὲ
marriage those indeed then by day to-weave others and

νύκτωρ τοῦ Ταρχετίου κελεύοντος ἀναλύειν τὸν ἱστόν.
by-night — Tarchetius ordering to-unravel the loom
ἐκ δὲ τοῦ φαλλοῦ τῆς θεραπαινίδος τεκούσης δίδυμα,
from and the phallus the maidservant having-borne twins
δοῦναί τινι Τερατίῳ τὸν Ταρχέτιον, ἀνελεῖν
to-have-given(-them) to-a-certain Teratius — Tarchetius to-destroy(-them)
κελεύσαντα. τὸν δὲ θεῖναι φέροντα τοῦ ποταμοῦ
having-ordered he and to-have-laid(-them) carrying(-them) the river
πλησίον· εἶτα λύκαιναν μὲν ἐπιφοιτᾶν μαστὸν ἐνδιδοῦσαν,
near then she-wolf indeed to-visit teat giving
ὄρνιθας δὲ παντοδαποὺς ψωμίσματα κομίζοντας ἐντιθέναι
birds and of-all-kinds morsels bringing to-put-in(-them)
τοῖς βρέφεσιν, ἄχρι οὗ βουκόλον ἰδόντα καὶ θαυμάσαντα
for-the babes until which a-herdsman having-seen and having-wondered
τολμῆσαι προσελθεῖν καὶ ἀνελέσθαι τὰ παιδία. τοιαύτης
to-have-dared to-approach and to-take-up the children such
δὲ τῆς σωτηρίας αὐτοῖς γενομένης, ἐκτραφέντας ἐπιθέσθαι
and the deliverance to-them having-been having-been-reared to-attack
τῷ Ταρχετίῳ καὶ κρατῆσαι. ταῦτα μὲν οὖν Προμαθίων
— Tarchetius and to-overcome(-him) these-things indeed then Promathion
τις ἱστορίαν Ἰταλικὴν συντεταγμένος εἴρηκε.
one history Italian having-composed has-told
Τοῦ δὲ πίστιν ἔχοντος λόγου μάλιστα καὶ πλείστους 3
of-the and credence having account most and most
μάρτυρας τὰ μὲν κυριώτατα πρῶτος εἰς τοὺς Ἕλληνας
witnesses the indeed most-important first to the Greeks
ἐξέδωκε Διοκλῆς Πεπαρήθιος, ᾧ καὶ Φάβιος ὁ Πίκτωρ ἐν
published Diocles of-Peparethus whom also Fabius the Pictor in
τοῖς πλείστοις ἐπηκολούθηκε. γεγόνασι δὲ καὶ περὶ τούτων
the most-points has-followed there-have-been and also about these(-things)
ἕτεραι διαφοραί· τύπῳ δὲ εἰπεῖν τοιοῦτός ἐστι. τῶν ἀπ᾽
other differences in-outline but to-speak such it-is of-the from

Αἰνείου γεγονότων ἐν Ἄλβῃ βασιλέων εἰς ἀδελφοὺς δύο,
Aeneas having-been-born in Alba kings to brothers two
Νομήτορα καὶ Ἀμούλιον, ἡ διαδοχὴ καθῆκεν. Ἀμουλίου δὲ
Numitor and Amulius the succession came-down Amulius and
νείμαντος τὰ πάντα δίχα, τῇ δὲ βασιλείᾳ τὰ χρήματα καὶ
having-divided the all(-things) in-two to-the and kingdom the money and
τὸν ἐκ Τροίας κομισθέντα χρυσὸν ἀντιθέντος, εἵλετο τὴν
the from Troy brought gold having-set-against chose the
βασιλείαν ὁ Νομήτωρ. ἔχων οὖν ὁ Ἀμούλιος τὰ χρήματα
kingdom — Numitor having then — Amulius the money
καὶ πλέον ἀπ᾽ αὐτῶν δυνάμενος τοῦ Νομήτορος, τήν τε
and more from it being-able — than-Numitor the both
βασιλείαν ἀφείλετο ῥᾳδίως, καὶ φοβούμενος ἐκ τῆς θυγατρὸς
kingdom took-away easily and fearing from the daughter
αὐτοῦ γενέσθαι παῖδας ἱέρειαν τῆς Ἑστίας ἀπέδειξεν, ἄγαμον
of-him to-be-born children priestess — of-Hestia he-appointed unmarried
καὶ παρθένον ἀεὶ βιωσομένην. ταύτην οἱ μὲν Ἰλίαν,
and virgin always to-live her the(-ones) indeed Ilia
οἱ δὲ Ῥέαν, οἱ δὲ Σιλουΐαν ὀνομάζουσι. φωρᾶται
the(-others) and Rhea the(-others) and Silvia name is-detected
δὲ μετ᾽ οὐ πολὺν χρόνον κυοῦσα παρὰ τὸν καθεστῶτα
and after not long time being-pregnant contrary-to the established
ταῖς Ἑστιάσι νόμον. καὶ τὸ μὲν ἀνήκεστα μὴ παθεῖν
for-the Vestals law and the indeed incurable(-things) not to-suffer
αὐτὴν ἡ τοῦ βασιλέως θυγάτηρ Ἀνθὼ παρῃτήσατο, δεηθεῖσα
her the of-the king daughter Antho begged-off begging
τοῦ πατρός· εἴρχθη δὲ καὶ δίαιταν εἶχεν ἀνεπίμικτον,
the father she-was-confined and and diet had secluded
ὅπως μὴ λάθοι τεκοῦσα τὸν Ἀμούλιον. ἔτεκε δὲ
so-that not she-might-escape-notice having-borne — Amulius she-bore and
δύο παῖδας ὑπερφυεῖς μεγέθει καὶ κάλλει. δι᾽ ὃ καὶ
two boys extraordinary in-size and in-beauty because-of which also

μᾶλλον ὁ Ἀμούλιος φοβηθεὶς ἐκέλευσεν αὐτοὺς ὑπηρέτην
more — Amulius having-feared ordered them a-servant
λαβόντα ῥῖψαι. τοῦτον ἔνιοι Φαυστύλον ὀνομάζεσθαι
having-taken to-throw-away this(-man) some Faustulus to-be-named
λέγουσιν, οἱ δ' οὐ τοῦτον, ἀλλὰ τὸν ἀνελόμενον.
say the(-others) but not this(-man) but the(-one) having-taken-up
ἐνθέμενος οὖν εἰς σκάφην τὰ βρέφη, κατέβη μὲν ἐπὶ τὸν
having-placed then into trough the babes he-went-down indeed to the
ποταμὸν ὡς ῥίψων, ἰδὼν δὲ κατιόντα πολλῷ
river as intending-to-throw(-them) having-seen and coming-down with-much
ῥεύματι καὶ τραχυνόμενον ἔδεισε προσελθεῖν, ἐγγὺς δὲ
stream and being-rough feared to-approach near and
τῆς ὄχθης καταθεὶς ἀπηλλάσσετο. τοῦ δὲ ποταμοῦ
the bank having-set(-them)-down went-away the and river
κατακλύζοντος ἡ πλημμύρα τὴν σκάφην ὑπολαβοῦσα
overflowing the flood the trough having-taken-up
καὶ μετεωρίσασα πρᾴως κατήνεγκεν εἰς χωρίον ἐπιεικῶς
and having-lifted gently carried(-it)-down to place fairly
μαλθακόν, ὃ νῦν Κερμαλὸν καλοῦσι, πάλαι δὲ Γερμανόν,
soft which now Cermalus they-call of-old and Germanus
ὡς ἔοικεν, ὅτι καὶ τοὺς ἀδελφοὺς γερμανοὺς ὀνομάζουσιν.
as it-seems because also the brothers germani they-name
Ἦν δὲ πλησίον ἐρινεός, ὃν Ῥωμινάλιον ἐκάλουν, ἢ 4
there-was and near wild-fig-tree which Ruminalis they-called either
διὰ τὸν Ῥωμύλον, ὡς οἱ πολλοὶ νομίζουσιν, ἢ διὰ
because-of — Romulus as the many think or because-of
τὸ τὰ μηρυκώμενα τῶν θρεμμάτων ἐκεῖ διὰ τὴν σκιὰν
the the ruminating of-the cattle there because-of the shade
ἐνδιάζειν, ἢ μάλιστα διὰ τὸν τῶν βρεφῶν θηλασμόν,
to-spend-midday or most because-of the of-the babes suckling
ὅτι τήν τε θηλὴν ῥοῦμαν ὠνόμαζον οἱ παλαιοί, καὶ θεόν
because the both teat ruma named the ancients and goddess

τινα τῆς ἐκτροφῆς τῶν νηπίων ἐπιμελεῖσθαι δοκοῦσαν
a-certain of-the rearing of-the infants to-take-care seeming
ὀνομάζουσι Ῥουμιλίαν, καὶ θύουσιν αὐτῇ νηφάλια,
they-name Rumilia and sacrifice to-her wineless(-offerings)
καὶ γάλα τοῖς ἱεροῖς ἐπισπένδουσιν. ἐνταῦθα δὴ τοῖς
and milk on-the victims pour-on there indeed for-the
βρέφεσι κειμένοις τήν τε λύκαιναν ἱστοροῦσι θηλαζομένην,
babes lying the both she-wolf they-relate giving-suck
καὶ δρυοκολάπτην τινὰ παρεῖναι συνεκτρέφοντα καὶ
and woodpecker a-certain to-be-present helping-to-rear and
φυλάττοντα. νομίζεται δ' Ἄρεως ἱερὰ τὰ ζῷα· τὸν
guarding is-thought and of-Ares sacred the creatures the
δὲ δρυοκολάπτην καὶ διαφερόντως Λατῖνοι σέβονται καὶ
and woodpecker also especially Latins revere and
τιμῶσιν· ὅθεν οὐχ ἥκιστα πίστιν ἔσχεν ἡ τεκοῦσα
honor whence not least credence had the(-one) having-borne
τὰ βρέφη τεκεῖν ἐξ Ἄρεως φάσκουσα. καίτοι
the babes to-have-borne(-them) from Ares asserting and-yet
τοῦτο παθεῖν αὐτὴν ἐξαπατηθεῖσαν λέγουσιν, ὑπὸ τοῦ
this to-have-suffered her deceived they-say by —
Ἀμουλίου διαπαρθενευθεῖσαν ἐν ὅπλοις ἐπιφανέντος αὐτῇ
Amulius deflowered in arms having-appeared to-her
καὶ συναρπάσαντος. οἱ δὲ τοὔνομα τῆς τροφοῦ
and having-carried(-her)-off the(-others) and the-name of-the nurse
δι' ἀμφιβολίαν ἐπὶ τὸ μυθῶδες ἐκτροπὴν τῇ φήμῃ
through ambiguity toward the fabulous a-turn to-the report
παρασχεῖν. λούπας γὰρ ἐκάλουν οἱ Λατῖνοι τῶν τε θηρίων
to-have-given lupas for called the Latins of-the both beasts
τὰς λυκαίνας, καὶ τῶν γυναικῶν τὰς ἑταιρούσας·
the she-wolves and of-the women the(-ones) prostituting(-themselves)
εἶναι δὲ τοιαύτην τὴν Φαυστύλου γυναῖκα τοῦ τὰ βρέφη
to-be and such the of-Faustulus wife the(-one) the babes

θρέψαντος, Ἄκκαν Λαρεντίαν ὄνομα. ταύτῃ δὲ καὶ θύουσιν
having-reared Acca Larentia by-name to-her and also sacrifice
οἱ Ῥωμαῖοι, καὶ χοὰς ἐπιφέρει τοῦ Ἀπριλλίου μηνὸς αὐτῇ
the Romans and libations brings of-the April month to-her
ὁ τοῦ Ἄρεως ἱερεύς, καὶ Λαρεντίαν καλοῦσι τὴν ἑορτήν.
the — of-Ares priest and Larentalia they-call the festival

II · THE TWINS FOUND

The Romans honor a second Larentia: Heracles' idle temple-warden dices with the god, loses, and pays with a feast and with Larentia, whom he hires and shuts in the temple for the night. The god bids her befriend the first man she meets; this is the rich, childless Tarrutius, who loves her and leaves her his estate, which she bequeaths to the Roman people. The twins, schooled at Gabii, grow strong and spirited; Numitor's herdsmen seize Romus, and Numitor, questioning him, suspects his birth. Faustulus, carrying the trough to the city, is found out and examined; Romulus and Romus rise against Amulius, who is caught and killed.

Ἑτέραν δὲ τιμῶσι Λαρεντίαν ἐξ αἰτίας τοιαύτης. ὁ
another and they-honor Larentia from cause such the
νεωκόρος τοῦ Ἡρακλέους ἀλύων, ὡς ἔοικεν, ὑπὸ σχολῆς,
temple-warden — of-Heracles being-at-a-loss as it-seems from leisure
προὔθετο πρὸς τὸν θεὸν διακυβεύειν, ὑπειπὼν ὅτι
proposed with the god to-play-dice having-said-beforehand that
νικήσας μὲν αὐτὸς ἕξει τι παρὰ τοῦ θεοῦ χρηστόν,
having-won indeed he-himself will-have something from the god good
ἡττηθεὶς δὲ τῷ θεῷ τράπεζαν ἄφθονον παρέξει
having-been-beaten and for-the god table abundant he-will-provide
καὶ γυναῖκα καλὴν συναναπαυσομένην. ἐπὶ τούτοις τὰς
and woman fair to-lie-with(-him) on these(-terms) the(-ones)
μὲν ὑπὲρ τοῦ θεοῦ τιθείς, τὰς δ' ὑπὲρ αὑτοῦ
indeed for the god having-thrown the(-others) and for himself

ψήφους, ἀνεφάνη νικώμενος. εὐσυνθετεῖν δὲ βουλόμενος καὶ
pebbles he-appeared being-beaten to-keep-faith but wishing and
δικαιῶν ἐμμένειν τοῖς ὁρισθεῖσι, δεῖπνόν τε τῷ
thinking-it-right to-abide by-the(-terms) fixed dinner both for-the
θεῷ παρεσκεύασε, καὶ τὴν Λαρεντίαν οὖσαν ὡραίαν, οὔπω
god he-prepared and — Larentia being in-her-prime not-yet
δὲ ἐπιφανῆ, μισθωσάμενος, εἱστίασεν ἐν τῷ ἱερῷ, κλίνην
but famous having-hired he-feasted in the temple couch
ὑποστορέσας, καὶ μετὰ τὸ δεῖπνον συνεῖρξεν, ὡς δὴ τοῦ
having-spread-beneath and after the dinner shut(-her)-in as indeed the
θεοῦ ἕξοντος αὐτήν. καὶ μέντοι καὶ τὸν θεὸν ἐντυχεῖν
god going-to-have her and however also the god to-have-met
λέγεται τῇ γυναικὶ καὶ κελεῦσαι βαδίζειν ἕωθεν ἐπὶ
is-said with-the woman and to-have-bidden(-her) to-go at-dawn to
τὴν ἀγορὰν καὶ τὸν ἀπαντήσαντα πρῶτον ἀσπασαμένην
the forum and the(-man) having-met(-her) first having-greeted
ποιεῖσθαι φίλον. ἀπήντησεν οὖν αὐτῇ τῶν πολιτῶν ἀνὴρ
to-make friend met then her of-the citizens a-man
ἡλικίας τε πόρρω ἥκων καὶ συνειλοχὼς οὐσίαν ἱκανήν,
in-age both far advanced and having-amassed substance sufficient
ἄπαις δὲ καὶ βεβιωκὼς ἄνευ γυναικός, ὄνομα Ταρρούτιος.
childless and also having-lived without wife by-name Tarrutius
οὗτος ἔγνω τὴν Λαρεντίαν καὶ ἠγάπησε, καὶ τελευτῶν
this(-man) knew — Larentia and loved(-her) and dying
ἀπέλιπε κληρονόμον ἐπὶ πολλοῖς καὶ καλοῖς κτήμασιν,
left(-her) heir to many and fine possessions
ὧν ἐκείνη τὰ πλεῖστα τῷ δήμῳ κατὰ διαθήκας
of-which she the most to-the people by wills
ἔδωκε. λέγεται δὲ αὐτὴν ἔνδοξον οὖσαν ἤδη καὶ θεοφιλῆ
gave it-is-said and her famous being already and god-beloved
νομιζομένην, ἀφανῆ γενέσθαι περὶ τοῦτον τὸν τόπον ἐν
being-thought invisible to-have-become about this the place in

ᾧ καὶ τὴν προτέραν ἐκείνην Λαρεντίαν κεῖσθαι. καλεῖται
which also the former that Larentia to-lie is-called
δὲ νῦν ὁ τόπος Βήλαυρον, ὅτι τοῦ ποταμοῦ πολλάκις
and now the place Velabrum because the river often
ὑπερχεομένου διεπεραιοῦντο πορθμείοις κατὰ τοῦτο τὸ
overflowing they-crossed by-ferries at this the
χωρίον εἰς ἀγοράν· τὴν δὲ πορθμείαν βηλατούραν καλοῦσιν.
spot to forum the and ferrying velatura they-call
ἔνιοι δὲ λέγουσι τὴν εἰς τὸν ἱππόδρομον φέρουσαν ἐξ
some and say the into the hippodrome leading from
ἀγορᾶς πάροδον ἱστίοις καταπετεννύναι τοὺς τὴν θέαν
forum passage with-sails to-spread those the show
παρέχοντας, ἐντεῦθεν ἀρχομένους· ῥωμαϊστὶ δὲ τὸ ἱστίον
providing from-here beginning in-Latin and the sail
βῆλον ὀνομάζουσι. διὰ ταῦτα μὲν ἔχει τιμὰς ἡ δευτέρα
velum they-name for these(-reasons) indeed has honors the second
Λαρεντία παρὰ Ῥωμαίοις.
Larentia among Romans

Τὰ δὲ βρέφη Φαυστύλος Ἀμουλίου συφορβὸς ἀνείλετο 6
the and babes Faustulus of-Amulius swineherd took-up
λαθὼν ἅπαντας, ὡς δ' ἔνιοί φασι τῶν εἰκότων ἐχόμενοι
escaping-notice all as but some say of-the probabilities holding
μᾶλλον, εἰδότος τοῦ Νομήτορος καὶ συγχορηγοῦντος τροφὰς
more knowing — Numitor and helping-to-supply provisions
κρύφα τοῖς τρέφουσι. καὶ γράμματα λέγονται καὶ τἆλλα
secretly to-those rearing(-them) both letters are-said and the-other(-things)
μανθάνειν οἱ παῖδες εἰς Γαβίους κομισθέντες, ὅσα χρὴ
to-learn the boys to Gabii brought as-much-as it-is-fitting
τοὺς εὖ γεγονότας. κληθῆναι δὲ καὶ τούτους ἀπὸ τῆς
the(-ones) well born to-have-been-called and also these from the
θηλῆς ἱστοροῦσι Ῥωμύλον καὶ Ῥῶμον, ὅτι θηλάζοντες
teat they-record Romulus and Romus because sucking

ὤφθησαν τὸ θηρίον. ἡ μὲν οὖν ἐν τοῖς σώμασιν εὐγένεια
they-were-seen the beast the indeed then in the bodies nobility
καὶ νηπίων ὄντων εὐθὺς ἐξέφαινε μεγέθει καὶ ἰδέᾳ
even infants being at-once showed in-size and in-appearance
τὴν φύσιν· αὐξόμενοι δὲ θυμοειδεῖς ἦσαν ἀμφότεροι καὶ
the nature growing and spirited were both and
ἀνδρώδεις καὶ φρονήματα πρὸς τὰ φαινόμενα δεινὰ καὶ
manly and spirits toward the appearing terrible(-things) and
τόλμαν ὅλως ἀνέκπληκτον ἔχοντες· ὁ δὲ Ῥωμύλος γνώμῃ
daring wholly undaunted having — and Romulus judgment
τε χρῆσθαι μᾶλλον ἐδόκει καὶ πολιτικὴν ἔχειν σύνεσιν,
both to-use more seemed and political to-have understanding
ἐν ταῖς περὶ νομὰς καὶ κυνηγίας πρὸς τοὺς γειτνιῶντας
in the about pastures and huntings with the neighbors
ἐπιμιξίαις πολλὴν ἑαυτοῦ παρέχων κατανόησιν ἡγεμονικοῦ
intercourse much of-himself giving perception of-one-fit-to-lead
μᾶλλον ἢ πειθαρχικοῦ φύσει γεγονότος. διὸ τοῖς μὲν
rather than obedient by-nature having-been-born wherefore to-the indeed
ὁμοφύλοις ἢ ταπεινοτέροις προσφιλεῖς ἦσαν, ἐπιστάτας
kinsmen or humbler(-men) dear they-were overseers
δὲ καὶ διόπους βασιλικοὺς καὶ ἀγελάρχας, ὡς μηδὲν
but and stewards royal and chief-herdsmen as in-nothing
αὐτῶν ἀρετῇ διαφέροντας, ὑπερφρονοῦντες οὔτ' ἀπειλῆς
than-them in-valor excelling despising neither of-threat
ἐφρόντιζον οὔτε ὀργῆς. ἐχρῶντο δὲ διαίταις καὶ διατριβαῖς
cared nor of-anger they-used and pursuits and occupations
ἐλευθερίοις, οὐ τὴν σχολὴν ἐλευθέριον ἡγούμενοι καὶ τὴν
befitting-the-free not the leisure befitting-the-free considering and the
ἀπονίαν, ἀλλὰ γυμνάσια καὶ θήρας καὶ δρόμους καὶ τὸ
idleness but exercises and hunts and races and the

λῃστὰς ἀμύνασθαι καὶ κλῶπας ἐλεῖν καὶ βίας ἐξελέσθαι
robbers to-ward-off and thieves to-catch and from-violence to-rescue
τοὺς ἀδικουμένους. ἦσαν δὴ διὰ ταῦτα περιβόητοι.
those wronged they-were indeed because-of these-things famous
Γενομένης δέ τινος πρὸς τοὺς Νομήτορος βουκόλους 7
having-arisen and some with the of-Numitor herdsmen
τοῖς Ἀμουλίου διαφορᾶς καὶ βοσκημάτων ἐλάσεως,
for-the(-herdsmen) of-Amulius dispute and of-cattle driving
οὐκ ἀνασχόμενοι συγκόπτουσι μὲν αὐτοὺς καὶ τρέπονται,
not enduring(-it) they-beat indeed them and rout(-them)
ἀποτέμνονται δὲ τῆς λείας συχνήν. ἀγανακτοῦντος δὲ τοῦ
cut-off and of-the booty a-good-part being-indignant and —
Νομήτορος ὠλιγώρουν· συνῆγον δὲ καὶ προσεδέχοντο
Numitor they-made-light(-of-it) they-gathered and and received
πολλοὺς μὲν ἀπόρους, πολλοὺς δὲ δούλους, θράσους
many indeed destitute many and slaves of-daring
ἀποστατικοῦ καὶ φρονήματος ἀρχὰς ἐνδιδόντες. τοῦ δὲ
rebellious and of-spirit beginnings putting-in — and
Ῥωμύλου πρός τινα θυσίαν ἀποτραπομένου (καὶ γὰρ ἦν
Romulus to some sacrifice having-turned-aside and for he-was
φιλοθύτης καὶ μαντικός), οἱ τοῦ Νομήτορος βοτῆρες τῷ
fond-of-sacrifice and prophetic the — of-Numitor herdsmen —
Ῥώμῳ μετ᾽ ὀλίγων βαδίζοντι προστυχόντες ἐμάχοντο.
Romus with few going having-met fought
καὶ γενομένων πληγῶν καὶ τραυμάτων ἐν ἀμφοτέροις
and having-arisen blows and wounds on both(-sides)
ἐκράτησαν οἱ τοῦ Νομήτορος καὶ συνέλαβον ζῶντα τὸν
prevailed the(-men) — of-Numitor and seized alive —
Ῥῶμον. ἀναχθέντος οὖν αὐτοῦ πρὸς τὸν Νομήτορα καὶ
Romus having-been-led-up then he to — Numitor and
κατηγορηθέντος, αὐτὸς μὲν οὐκ ἐκόλασε, χαλεπὸν ὄντα
having-been-accused he indeed not punished(-him) harsh being

δεδιὼς τὸν ἀδελφόν, ἐλθὼν δὲ πρὸς ἐκεῖνον ἐδεῖτο τυχεῖν
fearing the brother having-gone and to that(-man) he-asked to-obtain
δίκης, ἀδελφὸς ὢν καὶ καθυβρισμένος ὑπὸ οἰκετῶν ἐκείνου
justice brother being and having-been-outraged by servants of-that(-man)
βασιλέως ὄντος. συναγανακτούντων δὲ τῶν ἐν Ἄλβῃ
king being being-indignant-with(-him) and those in Alba
καὶ δεινὰ πάσχειν οἰομένων τὸν ἄνδρα παρ᾽ ἀξίαν,
and terrible(-things) to-suffer thinking the man beyond desert
κινηθεὶς ὁ Ἀμούλιος αὐτῷ παραδίδωσι τῷ Νομήτορι
having-been-moved — Amulius himself hands-over — to-Numitor
τὸν Ῥῶμον ὅ τι βούλοιτο χρήσασθαι. παραλαβὼν δ᾽
— Romus what ever he-wished to-use(-him) having-taken(-him) and
ἐκεῖνος, ὡς ἦκεν οἴκαδε, θαυμάζων μὲν ἀπὸ τοῦ σώματος
he when he-came home wondering indeed from the body
τὸν νεανίσκον ὑπερφέροντα μεγέθει καὶ ῥώμῃ πάντας,
the young-man surpassing in-size and strength all
ἐνορῶν δὲ τῷ προσώπῳ τὸ θαρραλέον καὶ ἰταμὸν τῆς
seeing and in-the face the confident and bold of-the
ψυχῆς ἀδούλωτον καὶ ἀπαθὲς ὑπὸ τῶν παρόντων, ἔργα δὲ
soul unenslaved and unmoved by the present(-things) deeds and
αὐτοῦ καὶ πράξεις ὅμοια τοῖς βλεπομένοις ἀκούων, τὸ δὲ
his and actions like to-the things-seen hearing the and
μέγιστον, ὡς ἔοικε, θεοῦ συμπαρόντος καὶ συνεπευθύνοντος
greatest as it-seems god being-present-with and helping-to-direct
ἀρχὰς μεγάλων πραγμάτων, ἁπτόμενος ἐπινοίᾳ καὶ τύχῃ
beginnings of-great affairs laying-hold-of by-design and by-chance
τῆς ἀληθείας, ἀνέκρινεν ὅστις εἴη καὶ ὅπως γένοιτο,
of-the truth questioned who he-was and how he-had-been-born
φωνῇ τε πραείᾳ καὶ φιλανθρώπῳ βλέμματι πίστιν αὐτῷ
with-voice both gentle and with-kindly look confidence to-him
μετ᾽ ἐλπίδος ἐνδιδούς. ὁ δὲ θαρρῶν ἔλεγεν· “Ἀλλ᾽
with hope putting-in he and taking-courage said but

οὐδὲν ἀποκρύψομαί σε· καὶ γὰρ εἶναι δοκεῖς Ἀμουλίου
nothing I-will-hide-from you and for to-be you-seem than-Amulius
βασιλικώτερος. ἀκούεις γὰρ καὶ ἀνακρίνεις πρὶν ἢ
more-kingly you-hear for and question before than
κολάζειν· ὁ δ' ἀκρίτους ἐκδίδωσι. πρότερον μὲν ἑαυτοὺς
to-punish he but untried hands-over before indeed ourselves
οἰκετῶν βασιλέως Φαιστύλου καὶ Λαρεντίας ἠπιστάμεθα
of-servants of-king of-Faustulus and of-Larentia we-knew
παῖδας (ἐσμὲν δὲ δίδυμοι), γενόμενοι δ' ἐν αἰτίᾳ πρὸς
sons we-are and twins having-come and into charge before
σὲ καὶ διαβολαῖς καὶ τοῖς περὶ ψυχῆς ἀγῶσιν, ἀκούομεν
you and slanders and in-the for life contests we-hear
μεγάλα περὶ ἑαυτῶν· εἰ δὲ πιστά, κρίνειν ἔοικε νῦν
great(-things) about ourselves if but trustworthy to-decide(-them) seems now
ὁ κίνδυνος. γοναὶ μὲν γὰρ ἡμῶν ἀπόρρητοι λέγονται,
the danger births indeed for our secret are-said
τροφαὶ δὲ καὶ τιθηνήσεις ἀτοπώτεραι νεογνῶν, οἷς
nurturing and and nursings stranger than-newborns to-whom
ἐρρίφημεν οἰωνοῖς καὶ θηρίοις, ὑπὸ τούτων τρεφόμενοι,
we-were-thrown to-birds and beasts by these being-reared
μαστῷ λυκαίνης καὶ δρυοκολάπτου ψωμίσμασιν, ἐν σκάφῃ
by-teat of-she-wolf and of-woodpecker by-morsels in trough
τινὶ κείμενοι παρὰ τὸν μέγαν ποταμόν. ἔστι δ' ἡ
a-certain lying by the great river there-is and the
σκάφη καὶ σώζεται, χαλκοῖς ὑποζώσμασι γραμμάτων
trough and it-is-preserved with-bronze bands of-letters
ἀμυδρῶν ἐγκεχαραγμένων, ἃ γένοιτ' ἂν ὕστερον ἴσως
faint engraved which might-become — later perhaps
ἀνωφελῆ γνωρίσματα τοῖς τοκεῦσιν ἡμῶν ἀπολομένων."
useless tokens for-the parents us having-perished

ὁ μὲν οὖν Νομήτωρ ἔκ τε τῶν λόγων τούτων καὶ πρὸς
— *indeed then Numitor from both the words these and from*
τὴν ὄψιν εἰκάζων τὸν χρόνον, οὐκ ἔφευγε τὴν ἐλπίδα
the appearance conjecturing the time not fled-from the hope
σαίνουσαν, ἀλλ᾽ ἐφρόντιζεν ὅπως τῇ θυγατρὶ περὶ τούτων
fawning(-on-him) but considered how with-the daughter about these(-things)
κρύφα συγγενόμενος φράσειεν· ἐφρουρεῖτο γὰρ ἔτι καρτερῶς.
secretly meeting he-might-tell she-was-guarded for still strictly

8 Ὁ δὲ Φαυστύλος ἀκούσας τήν τε σύλληψιν τοῦ Ῥώμου
— *and Faustulus having-heard the both seizure — of-Romus*
καὶ τὴν παράδοσιν, τὸν μὲν Ῥωμύλον ἠξίου βοηθεῖν,
and the handing-over — indeed Romulus he-asked to-help
τότε σαφῶς διδάξας περὶ τῆς γενέσεως· πρότερον
then clearly having-taught(-him) about the birth before
δὲ ὑπῃνίττετο καὶ παρεδήλου τοσοῦτον ὅσον προσέχοντας
but he-had-hinted and indicated so-much as attending
μὴ μικρὸν φρονεῖν· αὐτὸς δὲ τὴν σκάφην κομίζων ἐχώρει
not small to-think himself and the trough carrying went
πρὸς τὸν Νομήτορα, σπουδῆς καὶ δέους μεστὸς ὢν διὰ
to — Numitor of-haste and fear full being because-of
τὸν καιρόν. ὑποψίαν οὖν τοῖς περὶ τὰς πύλας φρουροῖς
the crisis suspicion then to-those at the gates guards
τοῦ βασιλέως παρέχων, καὶ ὑφορώμενος ὑπ᾽ αὐτῶν καὶ
of-the king giving and being-eyed by them and
ταραττόμενος περὶ τὰς ἀποκρίσεις, οὐκ ἔλαθε τὴν
being-confused about the answers not he-escaped-notice the
σκάφην τῷ χλαμυδίῳ περικαλύπτων. ἦν δέ τις ἐν
trough with-the cloak covering-over there-was and one among
αὐτοῖς ἀπὸ τύχης τῶν τὰ παιδία ῥῖψαι λαβόντων καὶ
them by chance of-those the children to-throw-away having-taken and
γεγονότων περὶ τὴν ἔκθεσιν. οὗτος ἰδὼν τὴν σκάφην
having-been-concerned with the exposure this(-man) having-seen the trough

τότε, καὶ γνωρίσας τῇ κατασκευῇ καὶ τοῖς γράμμασιν,
then and having-recognized(-it) by-the construction and by-the letters
ἔτυχεν ὑπονοίᾳ τοῦ ὄντος καὶ οὐ παρημέλησεν, ἀλλὰ
hit-upon by-suspicion the truth and not neglected(-it) but
φράσας τὸ πρᾶγμα τῷ βασιλεῖ κατέστησεν εἰς ἔλεγχον.
having-told the matter to-the king brought(-him) to examination
ἐν δὲ πολλαῖς καὶ μεγάλαις ἀνάγκαις ὁ Φαυστύλος οὔτ'
in and many and great compulsions — Faustulus neither
ἀήττητον ἑαυτὸν διεφύλαξεν οὔτε παντάπασιν ἐκβιασθείς,
unbeaten himself kept nor altogether having-been-forced
σώζεσθαι μὲν ὡμολόγησε τοὺς παῖδας, εἶναι δ' ἄπωθεν
to-be-safe indeed he-admitted the boys to-be but far-from
τῆς Ἄλβης ἔφη νέμοντας· αὐτὸς δὲ τοῦτο πρὸς τὴν
— Alba he-said pasturing himself and this to —
Ἰλίαν φέρων βαδίζειν, πολλάκις ἰδεῖν καὶ θιγεῖν ἐπ'
Ilia carrying to-go often to-see and to-touch(-it) in
ἐλπίδι βεβαιοτέρᾳ τῶν τέκνων ποθήσασαν. ὅπερ οὖν οἱ
hope surer of-the children having-longed(-for) which-very then those
ταραττόμενοι καὶ μετὰ δέους ἢ πρὸς ὀργὴν πράττοντες
being-confused and with fear or in anger doing
ὁτιοῦν ἐπιεικῶς πάσχουσι, συνέπεσε παθεῖν τὸν Ἀμούλιον.
anything usually suffer it-befell to-suffer — Amulius
ἄνδρα γὰρ ἄλλῃ τε χρηστὸν καὶ τοῦ Νομήτορος φίλον ὑπὸ
a-man for otherwise both good and — of-Numitor friend in
σπουδῆς ἔπεμψε, διαπυθέσθαι τοῦ Νομήτορος κελεύσας
haste he-sent to-inquire — of-Numitor having-bidden(-him)
εἴ τις ἥκοι λόγος εἰς αὐτὸν ὑπὲρ τῶν παίδων ὡς
whether any had-come report to him about the children as
περιγενομένων. ἀφικόμενος οὖν ὁ ἄνθρωπος, καὶ θεασάμενος
having-survived having-come then the man and having-seen
ὅσον οὔπω τὸν Ῥῶμον ἐν περιβολαῖς καὶ φιλοφροσύναις
all-but not-yet — Romus in embraces and caresses

τοῦ Νομήτορος, τήν τε πίστιν ἰσχυρὰν ἐποίησε τῆς
— of-Numitor the both confidence strong made of-the
ἐλπίδος καὶ παρεκελεύσατο τῶν πραγμάτων ὀξέως
hope and urged the affairs quickly
ἀντιλαμβάνεσθαι, καὶ συνῆν αὐτὸς ἤδη καὶ συνέπραττεν.
to-take-in-hand and was-with himself already and helped-to-act
ὁ δὲ καιρὸς οὐδὲ βουλομένοις ὀκνεῖν παρεῖχεν. ὁ γὰρ
the and crisis not-even to-those-wishing to-hesitate allowed — for
Ῥωμύλος ἐγγὺς ἦν ἤδη, καὶ πρὸς αὐτὸν ἐξέθεον οὐκ
Romulus near was already and to him ran-out not
ὀλίγοι τῶν πολιτῶν μίσει καὶ φόβῳ τοῦ Ἀμουλίου.
few of-the citizens from-hatred and from-fear — of-Amulius
Πολλὴν δὲ καὶ σὺν αὑτῷ δύναμιν ἦγε συλλελοχισμένην
much and also with himself force he-led having-been-divided
εἰς ἑκατοστύας· ἑκάστης δὲ ἀνὴρ ἀφηγεῖτο χόρτου καὶ
into hundreds of-each and a-man led of-grass and
ὕλης ἀγκαλίδα κοντῷ περικειμένην ἀνέχων· μανίπλα
brushwood bundle on-a-pole set-about holding-up manipla
ταύτας Λατῖνοι καλοῦσιν· ἀπ᾽ ἐκείνου δὲ καὶ νῦν ἐν τοῖς
these Latins call from that(-time) and also now in the
στρατεύμασι τούτους μανιπλαρίους ὀνομάζουσιν. ἅμα δὲ
armies these(-men) manipularii they-name at-once and
τοῦ μὲν Ῥώμου τοὺς ἐντὸς ἀφιστάντος, τοῦ δὲ Ῥωμύλου
— indeed Romus those within rousing-to-revolt — and Romulus
προσάγοντος ἔξωθεν, οὔτε πράξας οὐδὲν ὁ τύραννος
bringing(-his-men)-up from-outside neither having-done anything the tyrant
οὔτε βουλεύσας σωτήριον ἑαυτῷ, διὰ τὸ ἀπορεῖν καὶ
nor having-planned saving for-himself because-of the being-at-a-loss and
ταράττεσθαι, καταληφθεὶς ἀπέθανεν. ὧν τὰ πλεῖστα
being-confused having-been-caught he-died of-which(-things) the most
καὶ τοῦ Φαβίου λέγοντος καὶ τοῦ Πεπαρηθίου Διοκλέους,
both — Fabius saying and the Peparethian Diocles

ὃς δοκεῖ πρῶτος ἐκδοῦναι Ῥώμης κτίσιν, ὕποπτον μὲν
who seems first to-have-published of-Rome founding suspected indeed
ἐνίοις ἐστὶ τὸ δραματικὸν καὶ πλασματῶδες, οὐ δεῖ
to-some is the dramatic and fictitious not it-is-needful
δὲ ἀπιστεῖν τὴν τύχην ὁρῶντας οἵων ποιημάτων
but to-disbelieve the fortune seeing of-what-sort of-poems
δημιουργός ἐστι, καὶ τὰ Ῥωμαίων πράγματα λογιζομένους
craftsman it-is and the of-Romans affairs reckoning
ὡς οὐκ ἂν ἐνταῦθα προὔβη δυνάμεως, μὴ θείαν τινὰ
that not — here it-would-have-advanced in-power not divine some
ἀρχὴν λαβόντα καὶ μηδὲν μέγα μηδὲ παράδοξον ἔχουσαν.
beginning having-taken and nothing great nor marvelous having

III · THE FOUNDING

The brothers resolve to found their own city and open an asylum for runaways. They quarrel over the site and take the omen of birds: Romus sees six vultures, Romulus twelve, though some say Romulus lied. When Romulus digs the trench for the wall Romus mocks it and leaps over, and is killed. Romulus buries him, and the foster fathers who fell in the fight, and, with men from Etruria, founds the city with sacred rites, a circular trench for first-fruits, and a furrow plowed for the wall. The day was the Parilia; Tarutius cast the city's horoscope.

Ἀμουλίου δὲ ἀποθανόντος καὶ τῶν πραγμάτων 9
Amulius and having-died and the affairs
καταστάντων, Ἄλβην μὲν οὔτ' οἰκεῖν μὴ ἄρχοντες
having-been-settled in-Alba indeed neither to-live not ruling
οὔτ' ἄρχειν ἐβούλοντο τοῦ μητροπάτορος ζῶντος,
nor to-rule they-wished the grandfather living
ἀποδόντες δὲ τὴν ἡγεμονίαν ἐκείνῳ καὶ τῇ μητρὶ τιμὰς
having-given-back and the leadership to-him and to-the mother honors

πρεπούσας, ἔγνωσαν οἰκεῖν καθ' ἑαυτούς, πόλιν ἐν οἷς
fitting they-resolved to-live by themselves a-city in which
χωρίοις ἐξ ἀρχῆς ἐνετράφησαν κτίσαντες· αὕτη γὰρ
places from (the)-beginning they-had-been-reared having-founded this for
εὐπρεπεστάτη τῶν αἰτιῶν ἐστιν. ἦν δ' ἴσως ἀναγκαῖον,
most-fitting of-the causes is it-was but perhaps necessary
οἰκετῶν καὶ ἀποστατῶν πολλῶν ἠθροισμένων πρὸς αὐτούς,
slaves and runaways many having-been-gathered to them
ἢ καταλυθῆναι παντάπασι τούτων διασπαρέντων, ἢ
either to-be-dissolved altogether these having-been-dispersed or
συνοικεῖν ἰδίᾳ μετ' αὐτῶν. ὅτι γὰρ οὐκ ἠξίουν οἱ τὴν
to-dwell-together apart with them that for not thought-fit those —
Ἄλβην οἰκοῦντες ἀναμιγνύναι τοὺς ἀποστάτας ἑαυτοῖς
Alba inhabiting to-mix the runaways with-themselves
οὐδὲ προσδέχεσθαι πολίτας, ἐδήλωσε πρῶτον μὲν τὸ
nor to-receive(-them) (as)-citizens showed first indeed the
περὶ τὰς γυναῖκας ἔργον, οὐχ ὕβρει τολμηθέν, ἀλλὰ
about the women deed not from-insolence dared but
δι' ἀνάγκην, ἑκουσίων ἀπορίᾳ γάμων· ἐτίμησαν γὰρ
through necessity of-willing from-lack of-marriages they-honored for
αὐτὰς ἁρπάσαντες περιττῶς. ἔπειτα τῆς πόλεως
them having-carried(-them)-off exceedingly then the city
τὴν πρώτην ἵδρυσιν λαμβανούσης, ἱερόν τι φύξιμον
the first founding receiving sanctuary a-certain of-refuge
τοῖς ἀφισταμένοις κατασκευάσαντες, ὃ Θεοῦ Ἀσυλαίου
for-those revolting having-prepared which of-God Asylaeus
προσηγόρευον, ἐδέχοντο πάντας, οὔτε δεσπόταις δοῦλον
they-called they-received all neither to-masters slave
οὔτε θῆτα χρήσταις οὔτ' ἄρχουσιν ἀνδροφόνον ἐκδιδόντες,
nor laborer to-creditors nor to-rulers murderer giving-up
ἀλλὰ μαντεύματι πυθοχρήστῳ πᾶσι βεβαιοῦν τὴν ἀσυλίαν
but by-oracle pythian for-all to-confirm the inviolability

φάσκοντες, ὥστε πληθῦσαι ταχὺ τὴν πόλιν· ἐπεὶ τάς
asserting so-that to-be-filled quickly the city since the
γε πρώτας ἑστίας λέγουσι τῶν χιλίων μὴ πλείονας
at-least first hearths they-say of-the thousand not more
γενέσθαι. ταῦτα μὲν οὖν ὕστερον. Ὁρμήσασι δὲ πρὸς τὸν
to-have-been these-things indeed then later having-set-out and to the
συνοικισμὸν αὐτοῖς εὐθὺς ἦν διαφορὰ περὶ τοῦ τόπου.
founding to-them at-once there-was dispute about the place
Ῥωμύλος μὲν οὖν τὴν καλουμένην Ῥώμην κουαδράτην, ὅπερ
Romulus indeed then the called Rome quadrata which
ἐστὶ τετράγωνον, ἔκτισε, καὶ ἐκεῖνον ἐβούλετο πολίζειν τὸν
is square founded and that wished to-make-a-city the
τόπον, Ῥῶμος δὲ χωρίον τι τοῦ Ἀβεντίνου καρτερόν, ὃ
place Romus and spot a-certain of-the Aventine strong which
δι' ἐκεῖνον μὲν ὠνομάσθη Ῥεμώνιον, νῦν δὲ Ῥιγνάριον
because-of him indeed was-named Remonium now and Rignarium
καλεῖται. συνθεμένων δὲ τὴν ἔριν ὄρνισιν αἰσίοις βραβεῦσαι
is-called having-agreed and the strife by-birds auspicious to-decide
καὶ καθεζομένων χωρίς, ἕξ φασι τῷ Ῥώμῳ, διπλασίους δὲ
and sitting apart six they-say — to-Romus double and
τῷ Ῥωμύλῳ προφανῆναι γῦπας. οἱ δὲ τὸν μὲν Ῥῶμον
— to-Romulus to-have-appeared vultures the(-others) and — indeed Romus
ἀληθῶς ἰδεῖν, ψεύσασθαι δὲ τὸν Ῥωμύλον· ἐλθόντος δὲ
truly to-have-seen to-have-lied and — Romulus having-come and
τοῦ Ῥώμου, τότε τοὺς δώδεκα τῷ Ῥωμύλῳ φανῆναι, διὸ
— Romus then the twelve — to-Romulus to-have-appeared wherefore
καὶ νῦν μάλιστα χρῆσθαι γυψὶ Ῥωμαίους οἰωνιζομένους.
also now most to-use vultures Romans taking-omens
Ἡρόδωρος δ' ὁ Ποντικὸς ἱστορεῖ καὶ τὸν Ἡρακλέα χαίρειν
Herodorus but the of-Pontus records also — Heracles to-rejoice
γυπὸς ἐπὶ πράξει φανέντος. ἔστι μὲν γὰρ ἀβλαβέστατον
vulture at deed having-appeared is indeed for most-harmless

ζῴων ἁπάντων, μηδὲν ὧν σπείρουσιν ἢ φυτεύουσιν
of-creatures all none of-what sow or plant
ἢ νέμουσιν ἄνθρωποι σινόμενον, τρέφεται δὲ ἀπὸ νεκρῶν
or pasture men harming it-feeds and from dead
σωμάτων, ἀποκτίννυσι δ' οὐδὲν οὐδὲ λυμαίνεται ψυχὴν ἔχον,
bodies kills and nothing nor injures soul having
πτηνοῖς δὲ διὰ συγγένειαν οὐδὲ νεκροῖς πρόσεισιν.
to-the-winged and because-of kinship not-even dead(-ones) it-approaches
ἀετοὶ δὲ καὶ γλαῦκες καὶ ἱέρακες ζῶντα κόπτουσι τὰ
eagles and and owls and hawks living strike the(-ones)
ὁμόφυλα καὶ φονεύουσι· καίτοι κατ' Αἰσχύλον·
of-the-same-tribe and slaughter(-them) and-yet according-to Aeschylus

Ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών;
Of-bird bird how — could-it-be-pure having-eaten

ἔτι τἆλλα μὲν ἐν ὀφθαλμοῖς, ὡς ἔπος εἰπεῖν, ἀναστρέφεται
further the-others indeed in eyes as word to-say move-about
καὶ παρέχει διὰ παντὸς αἴσθησιν ἑαυτῶν· ὁ δὲ γὺψ
and give through all perception of-themselves the but vulture
σπάνιόν ἐστι θέαμα καὶ νεοσσοῖς γυπὸς οὐ ῥᾳδίως ἴσμεν
rare is sight and with-young of-vulture not easily we-know
ἐντετυχηκότες, ἀλλὰ καὶ παρέσχεν ἐνίοις ἄτοπον ὑπόνοιαν,
having-met but even it-gave to-some strange suspicion
ἔξωθεν αὐτοὺς ἀφ' ἑτέρας τινὸς γῆς καταίρειν ἐνταῦθα, τὸ
from-outside them from other some land to-fly-down here the
σπάνιον καὶ μὴ συνεχές, οἷον οἱ μάντεις ἀξιοῦσιν εἶναι τὸ
rarity and not continuous such the seers think-fit to-be the(-thing)
μὴ κατὰ φύσιν μηδ' ἀφ' αὑτοῦ, πομπῇ δὲ θείᾳ φαινόμενον.
not according-to nature nor from itself by-sending but divine appearing

Ἐπεὶ δ’ ἔγνω τὴν ἀπάτην ὁ Ῥῶμος, ἐχαλέπαινε, καὶ 10
when and knew the deceit — Romus he-was-angry and
τοῦ Ῥωμύλου τάφρον ὀρύττοντος ᾗ τὸ τεῖχος ἔμελλε
— Romulus trench digging where the wall was-to
κυκλοῦσθαι, τὰ μὲν ἐχλεύαζε τῶν ἔργων, τοῖς
be-encircled the(-ones) indeed he-mocked of-the works to-the(-others)
δ’ ἐμποδὼν ἐγένετο. τέλος δὲ διαλλόμενον αὐτὸν οἱ
but in-the-way he-got at-last and leaping-across him the(-ones)
μὲν αὐτοῦ Ῥωμύλου πατάξαντος, οἱ δὲ τῶν ἑταίρων
indeed himself Romulus having-struck the(-others) and of-the companions
τινὸς Κέλερος, ἐνταῦθα πεσεῖν λέγουσιν. ἔπεσε δὲ καὶ
a-certain Celer there to-have-fallen say fell and also
Φαυστύλος ἐν τῇ μάχῃ καὶ Πλειστῖνος, ὃν ἀδελφὸν
Faustulus in the battle and Pleistinus whom brother
ὄντα Φαυστύλου συνεκθρέψαι τοὺς περὶ τὸν Ῥωμύλον
being of-Faustulus to-have-helped-rear the(-twins) around — Romulus
ἱστοροῦσιν. ὁ μὲν οὖν Κέλερ εἰς Τυρρηνίαν μετέστη καὶ ἀπ’
they-record — indeed then Celer to Tyrrhenia moved and from
ἐκείνου τοὺς ταχεῖς οἱ Ῥωμαῖοι καὶ ὀξεῖς κέλερας ὀνομάζουσι·
him the swift the Romans and quick celeres name
καὶ Κόϊντον Μέτελλον, ὅτι τοῦ πατρὸς ἀποθανόντος
and Quintus Metellus because the father having-died
ἀγῶνα μονομάχων ἡμέραις ὀλίγαις ἐποίησε, θαυμάσαντες
contest of-gladiators in-days few he-held having-wondered-at
τὸ τάχος τῆς παρασκευῆς Κέλερα προσηγόρευσαν.
the speed of-the preparation Celer they-called(-him)
Ὁ δὲ Ῥωμύλος ἐν τῇ Ῥεμωνίᾳ θάψας τὸν Ῥῶμον 11
— and Romulus in — Remonia having-buried — Romus
ὁμοῦ καὶ τοὺς τροφεῖς, ᾤκιζε τὴν πόλιν, ἐκ Τυρρηνίας
together and the foster-fathers founded the city from Tyrrhenia
μεταπεμψάμενος ἄνδρας ἱεροῖς τισι θεσμοῖς καὶ γράμμασιν
having-sent-for men with-sacred some ordinances and writings

ὑφηγουμένους ἕκαστα καὶ διδάσκοντας ὥσπερ ἐν τελετῇ.
guiding each(-thing) and teaching as in a-rite
βόθρος γὰρ ὠρύγη περὶ τὸ νῦν Κομίτιον κυκλοτερής,
pit for was-dug about the now Comitium circular
ἀπαρχαί τε πάντων, ὅσοις νόμῳ μὲν ὡς καλοῖς ἐχρῶντο,
first-fruits both of-all whatever by-custom indeed as good they-used
φύσει δ' ὡς ἀναγκαίοις, ἀπετέθησαν ἐνταῦθα. καὶ τέλος,
by-nature and as necessary were-deposited there and at-last
ἐξ ἧς ἀφῖκτο γῆς ἕκαστος ὀλίγην κομίζων μοῖραν,
from what had-come land each a-little bringing portion
ἔβαλλον εἰς ταῦτα καὶ συνεμίγνυον. καλοῦσι δὲ τὸν βόθρον
they-threw into these and mixed-together they-call and the pit
τοῦτον ᾧ καὶ τὸν ὄλυμπον ὀνόματι μοῦνδον. εἶτα ὥσπερ
this by-which also the heaven by-name mundus then as
κύκλον κέντρῳ περιέγραψαν τὴν πόλιν. ὁ δ' οἰκιστὴς
circle from-center they-drew-round the city the and founder
ἐμβαλὼν ἀρότρῳ χαλκῆν ὖνιν, ὑποζεύξας δὲ βοῦν ἄρρενα
having-fitted to-plow bronze share having-yoked and ox male
καὶ θήλειαν, αὐτὸς μὲν ἐπάγει περιελαύνων αὔλακα βαθεῖαν
and female himself indeed draws driving-around furrow deep
τοῖς τέρμασι, τῶν δ' ἑπομένων ἔργον ἐστίν, ἃς ἀνίστησι
at-the boundaries of-those and following task it-is what raises
βώλους τὸ ἄροτρον καταστρέφειν εἴσω, καὶ μηδεμίαν
clods the plow to-turn-back inward and none
ἔξω περιορᾶν ἐκτρεπομένην. τῇ μὲν οὖν γραμμῇ τὸ
outside to-allow turning-aside by-the indeed then line the
τεῖχος ἀφορίζουσι καὶ καλεῖται κατὰ συγκοπὴν πωμήριον,
wall they-mark-out and it-is-called by syncope pomerium
οἷον ὄπισθεν τείχους ἢ μετὰ τεῖχος· ὅπου δὲ πύλην
as behind wall or after wall where and gate
ἐμβαλεῖν διανοοῦνται, τὴν ὖνιν ἐξελόντες καὶ τὸ ἄροτρον
to-put-in they-intend the share having-taken-out and the plow

ὑπερθέντες διάλειμμα ποιοῦσιν. ὅθεν ἅπαν τὸ τεῖχος ἱερὸν
having-lifted-over interval they-make whence all the wall sacred
πλὴν τῶν πυλῶν νομίζουσι· τὰς δὲ πύλας ἱερὰς νομίζοντας
except the gates they-consider the and gates sacred considering
οὐκ ἦν ἄνευ δεισιδαιμονίας τὰ μὲν δέχεσθαι, τὰ
not it-was without religious-scruple the(-ones) indeed to-receive the(-others)
δ' ἀποπέμπειν τῶν ἀναγκαίων καὶ μὴ καθαρῶν.
and to-send-out of-the necessary(-things) and not pure
Ὅτι μὲν οὖν ἡ κτίσις ἡμέρᾳ γένοιτο τῇ πρὸ ἕνδεκα 12
that indeed then the founding on-day took-place the before eleven
καλανδῶν Μαΐων ὁμολογεῖται· καὶ τὴν ἡμέραν ταύτην
calends of-May is-agreed and the day this
ἑορτάζουσι Ῥωμαῖοι, γενέθλιον τῆς πατρίδος ὀνομάζοντες.
keep-festival Romans birthday of-the fatherland naming
ἐν ἀρχῇ δ', ὥς φασιν, οὐδὲν ἔμψυχον ἔθυον, ἀλλὰ
in beginning and as they-say nothing living they-sacrificed but
καθαρὰν καὶ ἀναίμακτον ᾠοντο δεῖν τῇ πατρίδι τὴν
pure and bloodless they-thought it-needful for-the fatherland the
ἐπώνυμον τῆς γενέσεως ἑορτὴν φυλάττειν. οὐ μὴν ἀλλὰ
named of-the birth festival to-keep not indeed but
καὶ πρὸ τῆς κτίσεως βοτηρική τις ἦν αὐτοῖς ἑορτὴ κατὰ
also before the founding pastoral a-certain was for-them festival on
ταύτην τὴν ἡμέραν, καὶ Παρίλια προσηγόρευον αὐτήν. νῦν
this the day and Parilia they-called it now
μὲν οὖν οὐδὲν αἱ Ῥωμαϊκαὶ νουμηνίαι πρὸς τὰς Ἑλληνικὰς
indeed then nothing the Roman new-moons with the Greek
ὁμολογούμενον ἔχουσιν· ἐκείνην δὲ τὴν ἡμέραν, ᾗ τὴν
agreeing have that but the day on-which the
πόλιν ὁ Ῥωμύλος ἔκτιζεν, ἀτρεκῆ τριακάδα τυχεῖν
city — Romulus founded exact thirtieth to-have-fallen
λέγουσι· καὶ σύνοδον ἐκλειπτικὴν ἐν αὐτῇ γενέσθαι
they-say and conjunction eclipsing in it to-have-taken-place

σελήνης πρὸς ἥλιον, ἣν εἰδέναι καὶ Ἀντίμαχον οἴονται,
of-moon with sun which to-have-known also Antimachus they-think
τὸν Τήϊον ἐποποιόν, ἔτει τρίτῳ τῆς ἕκτης ὀλυμπιάδος
the Teian epic-poet in-year third of-the sixth olympiad
συμπεσοῦσαν. ἐν δὲ τοῖς κατὰ Βάρρωνα τὸν φιλόσοφον
having-occurred in and the in Varro the philosopher
χρόνοις, ἄνδρα Ῥωμαίων ἐν ἱστορίᾳ βιβλιακώτατον, ἦν
times a-man of-Romans in history most-bookish there-was
Ταρούτιος ἑταῖρος αὐτοῦ, φιλόσοφος μὲν ἄλλως καὶ
Tarutius companion of-him philosopher indeed besides and
μαθηματικός, ἁπτόμενος δὲ τῆς περὶ τὸν πίνακα μεθόδου
mathematician engaging-in and the about the table method
θεωρίας ἕνεκα καὶ δοκῶν ἐν αὐτῇ περιττὸς εἶναι. τούτῳ
of-speculation for-the-sake and seeming in it extraordinary to-be to-him
προὔβαλεν ὁ Βάρρων ἀναγαγεῖν τὴν Ῥωμύλου γένεσιν
proposed — Varro to-trace-back the of-Romulus birth
εἰς ἡμέραν καὶ ὥραν, ἐκ τῶν λεγομένων ἀποτελεσμάτων
to day and hour from the said influences
περὶ τὸν ἄνδρα ποιησάμενον τὸν συλλογισμόν, ὥσπερ αἱ
about the man having-made the reckoning as the
τῶν γεωμετρικῶν ὑφηγοῦνται προβλημάτων ἀναλύσεις· τῆς
of-the geometric lay-down problems analyses of-the
γὰρ αὐτῆς θεωρίας εἶναι χρόνον τε λαβόντας ἀνθρώπου
for same speculation to-be time both having-taken of-man
γενέσεως βίον προειπεῖν καὶ βίῳ δοθέντι θηρεῦσαι χρόνον.
of-birth life to-foretell and from-life given to-hunt-out time
ἐποίησεν οὖν τὸ προσταχθὲν ὁ Ταρούτιος, καὶ τά τε
he-did then the thing-ordered — Tarutius and the both
πάθη καὶ τὰ ἔργα τοῦ ἀνδρὸς ἐπιδὼν καὶ χρόνον ζωῆς
fortunes and the deeds of-the man having-surveyed and time of-life
καὶ τρόπον τελευτῆς καὶ πάντα τὰ τοιαῦτα συνθείς,
and manner of-death and all the such(-things) having-put-together

εὖ μάλα τεθαρρηκότως καὶ ἀνδρείως ἀπεφήνατο τὴν
well very confidently and boldly declared the
μὲν ἐν τῇ μητρὶ γεγονέναι τοῦ Ῥωμύλου σύλληψιν
indeed in the mother to-have-taken-place — of-Romulus conception
ἔτει πρώτῳ τῆς δευτέρας ὀλυμπιάδος, ἐν μηνὶ κατ᾽
in-year first of-the second olympiad in month according-to
Αἰγυπτίους Χοιάκ, τρίτῃ καὶ εἰκάδι, τρίτης ὥρας, καθ᾽
Egyptians Choeac on-third and twentieth at-third hour in
ἣν ὁ ἥλιος ἐξέλιπε παντελῶς· τὴν δ᾽ ἐμφανῆ γένεσιν
which the sun was-eclipsed totally the and visible birth
ἐν μηνὶ Θωύθ, ἡμέρᾳ πρώτῃ μετ᾽ εἰκάδα, περὶ ἡλίου
in month Thoth on-day first after twentieth about of-sun
ἀνατολάς· κτισθῆναι δὲ τὴν Ῥώμην ὑπ᾽ αὐτοῦ τῇ
rising to-have-been-founded and — Rome by him on-the
ἐνάτῃ Φαρμουθὶ μηνὸς ἱσταμένου, μεταξὺ δευτέρας ὥρας
ninth in-Pharmuthi of-month beginning between second hour
καὶ τρίτης· ἐπεὶ καὶ πόλεως τύχην, ὥσπερ ἀνθρώπου,
and third since also of-city fortune as of-man
κύριον ἔχειν οἴονται χρόνον, ἐκ τῆς πρώτης γενέσεως
decisive to-have they-think time from the first birth
πρὸς τὰς τῶν ἀστέρων ἐποχὰς θεωρούμενον. ἀλλὰ
in-relation-to the of-the stars positions considered but
ταῦτα μὲν ἴσως καὶ τὰ τοιαῦτα τῷ ξένῳ καὶ περιττῷ
these-things indeed perhaps and the such(-things) by-the strange and extraordinary
προσάξεται μᾶλλον ἢ διὰ τὸ μυθῶδες ἐνοχλήσει τοὺς
will-attract more than through the fabulous will-annoy those
ἐντυγχάνοντας αὐτοῖς.
meeting-with them

Romulus divides the fighting men into legions, chooses a hundred patricians as senators, and binds the many to the powerful as clients. To find wives for his men he proclaims a festival of Consus and seizes the Sabine maidens; Hersilia is taken for Romulus or Hostilius. Plutarch explains the cry Talasius and the Roman wedding customs it left. Acron, king of the Caeninenses, attacks and is slain by Romulus in single combat; Romulus dedicates his spoils to Feretrian Zeus in the first triumph.

13 Κτισθείσης δὲ τῆς πόλεως πρῶτον μὲν ὅσον ἦν
having-been-founded and the city first indeed as-much-as was
ἐν ἡλικίᾳ πλῆθος εἰς συντάγματα στρατιωτικὰ διεῖλεν·
in age multitude into units military he-divided
ἕκαστον δὲ σύνταγμα πεζῶν τρισχιλίων ἦν καὶ τριακοσίων
each and unit of-foot three-thousand was and three-hundred
ἱππέων. ἐκλήθη δὲ λεγεὼν τῷ λογάδας εἶναι τοὺς
horsemen was-called and legion because-of-the picked to-be the
μαχίμους ἐκ πάντων. ἔπειτα τοῖς μὲν ἄλλοις ἐχρῆτο
fighters out-of all then the indeed others he-used
δήμῳ καὶ ποπούλους ὠνομάσθη τὸ πλῆθος· ἑκατὸν
(as)-people and populus was-named the multitude a-hundred
δὲ τοὺς ἀρίστους ἀπέδειξε βουλευτάς, καὶ αὐτοὺς μὲν
and the best he-appointed senators and them indeed
πατρικίους, τὸ δὲ σύστημα σενᾶτον προσηγόρευσεν. ὁ
patricians the and body senate he-called the
μὲν οὖν σενᾶτος ἀτρεκῶς γερουσίαν σημαίνει· πατρικίους
indeed then senate exactly council-of-elders means patricians
δὲ τοὺς βουλευτὰς κληθῆναι λέγουσιν οἱ μὲν ὅτι
and the senators to-have-been-called say the(-ones) indeed because
παίδων γνησίων πατέρες ἦσαν, οἱ δὲ μᾶλλον ὡς
of-children legitimate fathers they-were the(-others) and rather as
αὐτοὺς ἔχοντας ἑαυτῶν ἀποδεῖξαι πατέρας, ὅπερ οὐ
themselves being-able of-themselves to-show fathers which not

πολλοῖς ὑπῆρξε τῶν πρώτων εἰς τὴν πόλιν συρρεόντων·
to-many belonged of-the first into the city flowing-together
οἱ δὲ ἀπὸ τῆς πατρωνείας. οὕτω γὰρ ἐκάλουν τὴν
the(-others) and from the patronage so for they-called the
προστασίαν καὶ καλοῦσιν ἄχρι νῦν, οἰόμενοι Πάτρωνά
protection and call until now thinking Patron
τινα τῶν σὺν Εὐάνδρῳ παραγενομένων, κηδεμονικὸν
a-certain of-those with Evander having-come protective
τῶν ὑποδεεστέρων ὄντα καὶ βοηθητικόν, ἀφ' αὑτοῦ τῷ
of-the weaker being and helpful from himself to-the
πράγματι ταύτην τὴν προσηγορίαν ἀπολιπεῖν. μάλιστα δ'
thing this the name to-have-left most but
ἄν τις τυγχάνοι τοῦ εἰκότος, εἰ νομίζοι τὸν Ῥωμύλον
— one would-hit-upon the probable if he-should-think — Romulus
ἀξιοῦντα τοὺς πρώτους καὶ δυνατωτάτους πατρικῇ
thinking-it-right the first and most-powerful with-fatherly
κηδεμονίᾳ καὶ φροντίδι προσήκειν ἐπιμελεῖσθαι τῶν
care and thought to-befit to-take-care-of the
ταπεινοτέρων, ἅμα δὲ τοὺς ἄλλους διδάσκοντα μὴ δεδιέναι
humbler at-once and the others teaching not to-fear
μηδ' ἄχθεσθαι ταῖς τῶν κρειττόνων τιμαῖς, ἀλλὰ χρῆσθαι
nor to-be-vexed at-the of-the stronger honors but to-treat(-them)
μετ' εὐνοίας καὶ νομίζοντας καὶ προσαγορεύοντας πατέρας,
with goodwill and considering and calling(-them) fathers
οὕτως ὀνομάσαι. καὶ γὰρ ἄχρι νῦν τοὺς ἐν συγκλήτῳ
so to-have-named(-them) and for until now those in senate
τελοῦντας οἱ μὲν ἔξωθεν ἄνδρας ἡγεμόνας καλοῦσιν,
enrolled the(-ones) indeed from-outside men leaders call
αὐτοὶ δὲ Ῥωμαῖοι πατέρας συγγεγραμμένους, τῷ
themselves and Romans fathers conscript with-the(-one)
μέγιστον μὲν ἀξίωμα καὶ τιμήν, ἥκιστα δὲ φθόνον ἔχοντι
greatest indeed dignity and honor least and envy having

χρώμενοι τῶν ὀνομάτων. ἐν ἀρχῇ μὲν οὖν πατέρας
using of-the names in beginning indeed then fathers
αὐτοὺς μόνον, ὕστερον δὲ πλειόνων προσαναλαμβανομένων,
them only later but more being-added
πατέρας συγγεγραμμένους προσηγόρευσαν. καὶ τοῦτο μὲν
fathers conscript they-called and this indeed
ἦν ὄνομα σεμνότερον αὐτῷ τῆς πρὸς τὸ δημοτικὸν τοῦ
was name more-dignified for-him of-the toward the popular of-the
βουλευτικοῦ διαφορᾶς· ἑτέροις δὲ τοὺς δυνατοὺς ἀπὸ
senatorial difference by-other(-means) and the powerful from
τῶν πολλῶν διῄρει, πάτρωνας ὀνομάζων, ὅπερ ἐστὶ
the many he-separated patrons naming which is
προστάτας, ἐκείνους δὲ κλίεντας, ὅπερ ἐστὶ πελάτας· ἅμα
protectors those and clients which is dependents at-once
δὲ πρὸς ἀλλήλους θαυμαστὴν εὔνοιαν αὐτοῖς καὶ μεγάλων
and toward one-another wonderful goodwill for-them and of-great
δικαίων ὑπάρξουσαν ἐνεποίησεν. οὗτοι μὲν γὰρ ἐξηγητάς
rights going-to-be-the-source he-engendered these indeed for expounders
τε τῶν νομίμων καὶ προστάτας δικαζομένοις συμβούλους
both of-the customs and protectors for-those-at-law counselors
τε πάντων καὶ κηδεμόνας ἑαυτοὺς παρεῖχον, ἐκεῖνοι
both of-all and guardians themselves offered those
δὲ τούτους ἐθεράπευον οὐ μόνον τιμῶντες, ἀλλὰ καὶ
and these served not only honoring(-them) but also
πενομένοις θυγατέρας συνεκδιδόντες καὶ χρέα συνεκτίνοντες.
being-poor daughters helping-to-dower and debts helping-to-pay
καταμαρτυρεῖν τε πελάτου προστάτην, ἢ προστάτου
to-bear-witness-against both client patron or patron
πελάτην, οὔτε νόμος οὐδεὶς οὔτε ἄρχων ἠνάγκαζεν. ὕστερον
client neither law any nor magistrate compelled later
δέ, τῶν ἄλλων δικαίων μενόντων, τὸ λαμβάνειν χρήματα
and the other rights remaining the to-take money

τοὺς δυνατοὺς παρὰ τῶν ταπεινοτέρων αἰσχρὸν ἐνομίσθη
the powerful from the humbler shameful was-thought
καὶ ἀγεννές. ταῦτα μὲν οὖν περὶ τούτων.
and ignoble these-things indeed then about these(-matters)
Τετάρτῳ δὲ μηνὶ μετὰ τὴν κτίσιν, ὡς Φάβιος ἱστορεῖ, 14
in-fourth and month after the founding as Fabius records
τὸ περὶ τὴν ἁρπαγὴν ἐτολμήθη τῶν γυναικῶν.
the(-deed) about the rape was-dared of-the women
καὶ λέγουσι μὲν ἔνιοι τὸν Ῥωμύλον αὐτὸν τῇ φύσει
and say indeed some — Romulus himself by-the nature
φιλοπόλεμον ὄντα, καὶ πεπεισμένον ἔκ τινων ἄρα λογίων
warlike being and persuaded from some then oracles
ὅτι τὴν Ῥώμην πέπρωται πολέμοις τρεφομένην καὶ
that — Rome is-fated by-wars nourished and
αὐξομένην γενέσθαι μεγίστην, βίας ὑπάρξαι πρὸς
increased to-become greatest of-violence to-have-begun(-with) against
τοὺς Σαβίνους· οὐδὲ γὰρ πολλάς, ἀλλὰ τριάκοντα μόνας
the Sabines not for many but thirty only
παρθένους λαβεῖν αὐτόν, ἅτε δὴ πολέμου μᾶλλον
maidens to-have-taken him as indeed of-war rather
ἢ γάμων δεόμενον. τοῦτο δὲ οὐκ εἰκός· ἀλλὰ τὴν
than of-marriages needing this but not likely but the
μὲν πόλιν ὁρῶν ἐποίκων εὐθὺς ἐμπιπλαμένην, ὧν
indeed city seeing with-settlers at-once being-filled of-whom
ὀλίγοι γυναῖκας εἶχον, οἱ δὲ πολλοὶ μιγάδες ἐξ ἀπόρων
few wives had the and many mixed-folk from destitute
καὶ ἀφανῶν ὄντες ὑπερεωρῶντο καὶ προσεδοκῶντο μὴ
and obscure(-men) being were-despised and were-expected not
συμμενεῖν βεβαίως, ἐλπίζων δὲ πρὸς τοὺς Σαβίνους
to-hold-together firmly hoping and toward the Sabines
τρόπον τινὰ συγκράσεως καὶ κοινωνίας ἀρχὴν αὐτοῖς τὸ
manner a-certain of-blending and of-partnership beginning for-them the

ἀδίκημα ποιήσειν ἡμερωσαμένοις τὰς γυναῖκας, ἐπεχείρησε
wrong to-make having-tamed the women he-attempted
τῷ ἔργῳ τόνδε τὸν τρόπον. διεδόθη λόγος ὑπ᾽ αὐτοῦ
the deed this the manner was-spread report by him
πρῶτον ὡς θεοῦ τινος ἀνευρήκοι βωμὸν ὑπὸ γῆς
first that of-god a-certain he-had-discovered altar under earth
κεκρυμμένον. ὠνόμαζον δὲ τὸν θεὸν Κῶνσον, εἴτε βουλαῖον
hidden they-named and the god Consus either of-counsel
ὄντα (κωνσίλιον γὰρ ἔτι νῦν τὸ συμβούλιον καλοῦσι, καὶ
being consilium for still now the council they-call and
τοὺς ὑπάτους κωνσούλας, οἷον προβούλους), εἴτε ἵππιον
the consuls consules as-it-were counselors or equestrian
Ποσειδῶ. καὶ γὰρ ὁ βωμὸς ἐν τῷ μείζονι τῶν ἱπποδρόμων
Poseidon and for the altar in the greater of-the hippodromes
ἔστιν, ἀφανὴς τὸν ἄλλον χρόνον, ἐν δὲ τοῖς ἱππικοῖς
is invisible the other time in and the equestrian
ἀγῶσιν ἀνακαλυπτόμενος. οἱ δὲ καὶ ὅλως φασὶ τοῦ
contests uncovered the(-others) and even altogether say of-the
βουλεύματος ἀπορρήτου καὶ ἀφανοῦς ὄντος ὑπόγειον οὐκ
counsel secret and invisible being underground not
ἀλόγως τῷ θεῷ βωμὸν γενέσθαι καὶ κεκρυμμένον. ὡς
unreasonably for-the god altar to-have-been and hidden when
δ᾽ ἀνεφάνη, θυσίαν τε λαμπρὰν ἐπ᾽ αὐτῷ καὶ ἀγῶνα καὶ
and it-appeared sacrifice both splendid on it and contest and
θέαν ἐκ καταγγελίας ἐπετέλει πανηγυρικήν. καὶ πολλοὶ
spectacle from proclamation he-held festal and many
μὲν ἄνθρωποι συνῆλθον, αὐτὸς δὲ προὐκάθητο μετὰ τῶν
indeed men came-together himself and sat-in-front with the
ἀρίστων ἁλουργίδι κεκοσμημένος. ἦν δὲ τοῦ καιροῦ
best(-men) in-purple adorned it-was and of-the moment
τῆς ἐπιχειρήσεως σύμβολον ἐξαναστάντα τὴν ἁλουργίδα
of-the attempt (the)-sign having-risen-up the purple

πτύξαι καὶ περιβαλέσθαι πάλιν. ἔχοντες οὖν ξίφη πολλοὶ
to-fold and to-throw-about(-himself) again having then swords many
προσεῖχον αὐτῷ, καὶ τοῦ σημείου γενομένου σπασάμενοι
attended to-him and the sign having-been-given having-drawn
τὰ ξίφη καὶ μετὰ βοῆς ὁρμήσαντες ἥρπαζον τὰς θυγατέρας
the swords and with shout having-rushed seized the daughters
τῶν Σαβίνων, αὐτοὺς δὲ φεύγοντας εἴων καὶ παρίεσαν.
of-the Sabines them but fleeing let and let-pass
ἁρπασθῆναι δέ φασιν οἱ μὲν τριάκοντα μόνας, ἀφ' ὧν
to-have-been-seized and say the(-ones) indeed thirty only from whom
καὶ τὰς φρατρίας ὀνομασθῆναι, Οὐαλλέριος δὲ Ἀντίας ἑπτὰ
also the curiae to-have-been-named Valerius but Antias seven
καὶ εἴκοσι καὶ πεντακοσίας, Ἰόβας δὲ τρεῖς καὶ ὀγδοήκοντα
and twenty and five-hundred Juba and three and eighty
καὶ ἑξακοσίας παρθένους· ὃ μέγιστον ἦν ἀπολόγημα τῷ
and six-hundred maidens which greatest was defense —
Ῥωμύλῳ· γυναῖκα γὰρ οὐ λαβεῖν ἀλλ' ἢ μίαν Ἐρσιλίαν,
for-Romulus wife for not to-have-taken but than one Hersilia
διαλαθοῦσαν αὐτούς, ἅτε δὴ μὴ μεθ' ὕβρεως μηδ' ἀδικίας
escaping-notice them as indeed not with insolence nor wrong
ἐλθόντας ἐπὶ τὴν ἁρπαγήν, ἀλλὰ συμμῖξαι καὶ συναγαγεῖν
having-come to the rape but to-mix and to-bring-together
εἰς ταὐτὸ τὰ γένη ταῖς μεγίσταις ἀνάγκαις διανοηθέντας.
into the-same the races by-the greatest necessities intending
τὴν δ' Ἐρσιλίαν οἱ μὲν Ὁστίλιον γῆμαι λέγουσιν,
— but Hersilia the(-ones) indeed Hostilius to-have-married say
ἄνδρα Ῥωμαίων ἐπιφανέστατον, οἱ δὲ αὐτὸν Ῥωμύλον,
man of-Romans most-distinguished the(-others) and himself Romulus
καὶ γενέσθαι καὶ παῖδας αὐτῷ, μίαν μὲν θυγατέρα
and to-have-been-born also children to-him one indeed daughter
Πρίμαν, τῇ τάξει τῆς γενέσεως οὕτω προσαγορευθεῖσαν,
Prima from-the order of-the birth so called

ἕνα δ' υἱὸν μόνον, ὃν Ἀόλλιον μὲν ἐκεῖνος ἀπὸ τῆς
one and son only whom Aollius indeed that(-man) from the
γενομένης ἀθροίσεως ὑπ' αὐτοῦ τῶν πολιτῶν ὠνόμασεν,
having-taken-place gathering by him of-the citizens named
οἱ δ' ὕστερον Ἀβίλλιον. ἀλλὰ ταῦτα μὲν ἱστορῶν
the(-others) and later Avillius but these-things indeed recording
Ζηνόδοτος ὁ Τροιζήνιος πολλοὺς ἔχει τοὺς ἀντιλέγοντας.
Zenodotus the Troezenian many has the gainsayers
15 Ἐν δὲ τοῖς ἁρπάζουσι τὰς παρθένους τότε τυχεῖν
among and those carrying-off the maidens then to-have-happened
λέγουσι τῶν οὐκ ἐπιφανῶν τινας ἄγοντας κόρην τῷ
they-say of-the not distinguished some leading girl in-the
τε κάλλει πολὺ καὶ τῷ μεγέθει διαφέρουσαν. ἐπεὶ δ'
both beauty much and in-the stature excelling when and
ἀπαντῶντες ἔνιοι τῶν κρειττόνων ἐπεχείρουν ἁφαιρεῖσθαι,
meeting(-them) some of-the stronger tried to-take(-her)-away
βοᾶν τοὺς ἄγοντας ὡς Ταλασίῳ κομίζοιεν αὐτήν,
to-shout the(-men) leading(-her) that to-Talasius they-were-bringing her
ἀνδρὶ νέῳ μέν, εὐδοκίμῳ δὲ καὶ χρηστῷ· τοῦτ' οὖν
a-man young indeed of-good-repute and and worthy this then
ἀκούσαντας εὐφημεῖν καὶ κροτεῖν ἐπαινοῦντας, ἐνίους δὲ
having-heard to-cheer and to-clap applauding some and
καὶ παρακολουθεῖν ἀναστρέψαντας εὐνοίᾳ καὶ χάριτι
even to-follow having-turned-back from-goodwill and favor
τοῦ Ταλασίου, μετὰ βοῆς τοὔνομα φθεγγομένους. ἀφ' οὗ
— to-Talasius with shout the-name uttering from which
δὴ τὸν Ταλάσιον ἄχρι νῦν, ὡς Ἕλληνες τὸν Ὑμέναιον,
indeed — Talasius until now as Greeks — Hymenaeus
ἐπᾴδουσι Ῥωμαῖοι τοῖς γάμοις· καὶ γὰρ εὐτυχίᾳ φασὶ
sing Romans at-the weddings and for good-fortune they-say
χρήσασθαι περὶ τὴν γυναῖκα τὸν Ταλάσιον. Σέξτιος δὲ
to-have-had about the wife — Talasius Sextius and

Σύλλας ὁ Καρχηδόνιος, οὔτε μουσῶν οὔτε χαρίτων
Sulla the Carthaginian neither of-Muses nor of-Graces
ἐπιδεὴς ἀνήρ, ἔλεγεν ἡμῖν ὅτι τῆς ἁρπαγῆς σύνθημα
lacking man told us that of-the rape (as)-watchword
τὴν φωνὴν ἔδωκε ταύτην ὁ Ῥωμύλος. ἅπαντες οὖν τὸν
the cry gave this — Romulus all then —
Ταλάσιον ἐβόων οἱ τὰς παρθένους κομίζοντες· καὶ διὰ
Talasius shouted those the maidens carrying and because-of
τοῦτο τοῖς γάμοις παραμένει τὸ ἔθος. οἱ δὲ πλεῖστοι
this at-the weddings remains the custom the but most
νομίζουσιν, ὧν καὶ Ἰόβας ἐστί, παράκλησιν εἶναι καὶ
think of-whom also Juba is (it)-exhortation to-be and
παρακέλευσιν εἰς φιλεργίαν καὶ ταλασίαν, οὔπω τότε τοῖς
encouragement to industry and wool-spinning not-yet then with-the
Ἑλληνικοῖς ὀνόμασι τῶν Ἰταλικῶν ἐπικεχυμένων. εἰ δὲ
Greek words the Italian having-been-overwhelmed if and
τοῦτο μὴ λέγεται κακῶς, ἀλλ᾽ ἐχρῶντο Ῥωμαῖοι τότε τῷ
this not is-said badly but used Romans then the
ὀνόματι τῆς ταλασίας, καθάπερ ἡμεῖς, ἑτέραν ἄν τις αἰτίαν
word of-the talasia as we another — one cause
εἰκάσειε πιθανωτέραν. ἐπεὶ γὰρ οἱ Σαβῖνοι πρὸς τοὺς
might-conjecture more-plausible when for the Sabines against the
Ῥωμαίους πολεμήσαντες διηλλάγησαν, ἐγένοντο συνθῆκαι
Romans having-warred were-reconciled there-were covenants
περὶ τῶν γυναικῶν, ὅπως μηδὲν ἄλλο ἔργον τοῖς ἀνδράσιν
about the women that no other work for-the husbands
ἢ τὰ περὶ τὴν ταλασίαν ὑπουργῶσι. παρέμεινεν οὖν
than the(-things) about the wool-spinning they-should-perform remained then
καὶ τοῖς αὖθις γαμοῦσι τοὺς διδόντας ἢ παραπέμποντας
also for-those afterward marrying those giving-away or escorting
ἢ ὅλως παρόντας, ἀναφωνεῖν τὸν Ταλάσιον μετὰ παιδιᾶς,
or at-all present to-cry-out — Talasius with sport

μαρτυρομένους ὡς ἐπ᾽ οὐδὲν ἄλλο ὑπούργημα τῆς γυναικὸς
bearing-witness that for no other service the woman
ἢ ταλασίαν εἰσαγομένης. διαμένει δὲ μέχρι νῦν τὸ τὴν
than wool-spinning being-brought-in remains and until now the the
νύμφην αὐτὴν ἀφ᾽ αὑτῆς μὴ ὑπερβαίνειν τὸν οὐδὸν εἰς τὸ
bride herself of herself not to-step-over the threshold into the
δωμάτιον, ἀλλ᾽ αἰρομένην εἰσφέρεσθαι, διὰ τὸ καὶ τότε
chamber but being-lifted to-be-carried-in because-of the also then
κομισθῆναι βιασθείσας, μὴ εἰσελθεῖν. ἔνιοι δὲ λέγουσι
to-have-been-carried having-been-forced not to-have-gone-in some and say
καὶ τὸ τὴν κόμην τῆς γαμουμένης αἰχμῇ διακρίνεσθαι
also the the hair of-the bride with-point to-be-parted
δορατίου σύμβολον εἶναι τοῦ μετὰ μάχης καὶ πολεμικῶς
of-spear token to-be of-the with battle and warlike
τὸν πρῶτον γάμον γενέσθαι· περὶ ὧν ἐπὶ πλέον
the first marriage to-have-taken-place about which(-things) at more-length
ἐν τοῖς Αἰτίοις εἰρήκαμεν. ἐτολμήθη μὲν οὖν ἡ ἁρπαγὴ
in the Causes we-have-spoken was-dared indeed then the rape
περὶ τὴν ὀκτωκαιδεκάτην ἡμέραν τοῦ τότε μὲν Σεξτιλίου
about the eighteenth day of-the then indeed Sextilis
μηνός, Αὐγούστου δὲ νῦν, ἐν ᾗ τὴν τῶν Κωνσαλίων
month August but now on which the of-the Consualia
ἑορτὴν ἄγουσιν.
festival they-hold

16 Οἱ δὲ Σαβῖνοι πολλοὶ μὲν ἦσαν καὶ πολεμικοί, κώμας δὲ
the and Sabines numerous indeed were and warlike villages and
ᾤκουν ἀτειχίστους, ὡς προσῆκον αὐτοῖς μέγα φρονεῖν καὶ
inhabited unwalled as befitting for-them great to-think and
μὴ φοβεῖσθαι, Λακεδαιμονίων ἀποίκοις οὖσιν. οὐ μὴν ἀλλ᾽
not to-fear of-Lacedaemonians colonists being not indeed but
ὁρῶντες αὐτοὺς ἐνδεδεμένους μεγάλοις ὁμηρεύμασι, καὶ
seeing themselves bound by-great hostages and

δεδιότες περὶ τῶν θυγατέρων, πρέσβεις ἀπέστειλαν ἐπιεικῆ
fearing for the daughters envoys sent reasonable
καὶ μέτρια προκαλούμενοι, τὸν Ῥωμύλον ἀποδόντα τὰς
and moderate(-terms) proposing(-to) — Romulus giving-back the
κόρας αὐτοῖς καὶ λύσαντα τὸ τῆς βίας ἔργον, εἶτα πειθοῖ
girls to-them and undoing the of-the violence deed then by-persuasion
καὶ νόμῳ πράττειν τοῖς γένεσι φιλίαν καὶ οἰκειότητα. τοῦ
and law to-establish for-the peoples friendship and kinship —
δὲ Ῥωμύλου τὰς μὲν κόρας μὴ προιεμένου, παρακαλοῦντος
and Romulus the indeed girls not giving-up inviting
δὲ τὴν κοινωνίαν δέχεσθαι τοὺς Σαβίνους, οἱ μὲν ἄλλοι
and the partnership to-accept the Sabines the indeed others
βουλευόμενοι καὶ παρασκευαζόμενοι διέτριβον, Ἄκρων δὲ
deliberating and preparing were-spending-time Acron but
βασιλεὺς Κενινητῶν, ἀνὴρ θυμοειδὴς καὶ δεινὸς ἐν τοῖς
king of-Caeninenses a-man spirited and formidable in the
πολεμικοῖς, τά τε πρῶτα τολμήματα τοῦ Ῥωμύλου δι'
warlike(-matters) the both first daring-deeds — of-Romulus with
ὑποψίας εἶχε, καὶ τῷ πραχθέντι περὶ τὰς γυναῖκας
suspicion held and by-the(-deed) done about the women
ἤδη φοβερὸν ἡγούμενος πᾶσιν εἶναι καὶ οὐκ ἀνεκτόν,
already fearful thinking(-him) to-all to-be and not tolerable
εἰ μὴ κολασθείη, προεξανέστη τῷ πολέμῳ καὶ μετὰ
if not he-should-be-punished rose-up-first to-the war and with
πολλῆς ἐχώρει δυνάμεως ἐπ' αὐτόν· καὶ ὁ Ῥωμύλος ἐπ'
great advanced force against him and — Romulus against
ἐκεῖνον. γενόμενοι δ' ἐν ὄψει καὶ κατιδόντες ἀλλήλους
him having-come and into sight and having-seen each-other
προὐκαλοῦντο μάχεσθαι, τῶν στρατευμάτων ἐν τοῖς ὅπλοις
challenged(-each-other) to-fight the armies in the arms
ἀτρεμούντων. εὐξάμενος οὖν ὁ Ῥωμύλος, εἰ κρατήσειε καὶ
keeping-still having-prayed then — Romulus if he-should-prevail and

καταβάλοι, τῷ Διὶ φέρων ἀναθήσειν αὐτὸς τὰ ὅπλα τοῦ
overthrow(-him) — to-Zeus carrying to-dedicate himself the arms of-the
ἀνδρός, αὐτόν τε καταβάλλει κρατήσας καὶ τρέπεται τὸ
man him both he-overthrows having-prevailed and routs the
στράτευμα μάχης γενομένης, αἱρεῖ δὲ καὶ τὴν πόλιν· οὐ
army battle having-taken-place he-takes and also the city not
μὴν ἠδίκησε τοὺς ἐγκαταληφθέντας, ἀλλ᾽ ἢ τὰς οἰκίας
indeed he-wronged those caught-within but than the houses
ἐκέλευσε καθελόντας ἀκολουθεῖν εἰς Ῥώμην, ὡς πολίτας
he-ordered having-pulled-down to-follow to Rome as citizens
ἐπὶ τοῖς ἴσοις ἐσομένους. τούτου μὲν οὖν οὐκ ἔστιν
on the equal(-terms) going-to-be than-this indeed then not there-is
ὅ τι μᾶλλον ηὔξησε τὴν Ῥώμην, ἀεὶ προσποιοῦσαν
what ever more increased — Rome always attaching
ἑαυτῇ καὶ συννέμουσαν ὧν κρατήσειεν· ὁ δὲ Ῥωμύλος,
to-herself and sharing-with whom she-conquered — and Romulus
ὡς ἂν μάλιστα τὴν εὐχὴν τῷ τε Διὶ κεχαρισμένην
so-that — most the vow — both to-Zeus pleasing
καὶ τοῖς πολίταις ἰδεῖν ἐπιτερπῆ παράσχοι σκεψάμενος,
and to-the citizens to-see delightful he-might-make having-considered
ἐπὶ στρατοπέδου δρῦν ἔτεμεν ὑπερμεγέθη, καὶ διεμόρφωσεν
at camp oak he-cut huge and shaped(-it)
ὥσπερ τρόπαιον, καὶ τῶν ὅπλων τοῦ Ἄκρωνος ἕκαστον
like trophy and of-the arms — of-Acron each
ἐν τάξει περιήρμοσε καὶ κατήρτησεν· αὐτὸς δὲ τὴν μὲν
in order he-fitted-around and hung-on himself and the indeed
ἐσθῆτα περιεζώσατο, δάφνῃ δὲ ἐστέψατο τὴν κεφαλὴν
dress girded with-laurel and he-crowned the head
κομῶσαν. ὑπολαβὼν δὲ τῷ δεξιῷ τὸ τρόπαιον ὤμῳ
long-haired having-taken-up and on-the right the trophy shoulder
προσερειδόμενον ὀρθόν, ἐβάδιζεν ἐξάρχων ἐπινικίου παιᾶνος
resting upright he-walked leading-off of-victory paean

ἐν ὅπλοις ἑπομένῃ τῇ στρατιᾷ, δεχομένων τῶν πολιτῶν
in arms following the army receiving(-him) the citizens
μετὰ χαρᾶς καὶ θαύματος. ἡ μὲν οὖν πομπὴ τῶν αὖθις
with joy and wonder the indeed then procession of-the later
θριάμβων ἀρχὴν καὶ ζῆλον παρέσχε· τὸ δὲ τρόπαιον
triumphs beginning and emulation gave the and trophy
ἀνάθημα Φερετρίου Διὸς ἐπωνομάσθη. τὸ γὰρ πλῆξαι
offering of-Feretrian Zeus was-named the for to-strike
φερῖρε Ῥωμαῖοι καλοῦσιν· εὔξατο δὲ πλῆξαι τὸν ἄνδρα καὶ
ferire Romans call he-vowed and to-strike the man and
καταβαλεῖν· ὀπίμια δὲ τὰ σκῦλα, φησὶ Βάρρων, καθότι
to-overthrow opima and the spoils says Varro according-as
καὶ τὴν περιουσίαν ὄπεμ λέγουσι. πιθανώτερον δ' ἄν τις
also the abundance opem they-call more-plausibly but — one
εἴποι διὰ τὴν πρᾶξιν· ὄπους γὰρ ὀνομάζεται τὸ ἔργον.
might-say from the deed opus for is-named the work
αὐτουργῷ δ' ἀριστείας στρατηγῷ στρατηγὸν ἀνελόντι
by-his-own-hand and of-prowess to-a-general general having-slain
δέδοται καθιέρωσις ὀπιμίων. καὶ τρισὶ μόνοις τούτου τυχεῖν
is-granted dedication of-opima and to-three only this to-obtain
ὑπῆρξε Ῥωμαίοις ἡγεμόσι, πρώτῳ Ῥωμύλῳ, κτείναντι
fell-to-the-lot Roman to-commanders first Romulus having-killed
τὸν Κενινήτην Ἄκρωνα, δευτέρῳ Κορνηλίῳ Κόσσῳ,
the Caeninensian Acron second Cornelius Cossus
Τυρρηνὸν ἀνελόντι Τολούμνιον, ἐπὶ πᾶσι δὲ Κλαυδίῳ
Tyrrhenian having-slain Tolumnius after all and to-Claudius
Μαρκέλλῳ, Βριτομάρτου κρατήσαντι Γαλατῶν βασιλέως.
Marcellus Britomartus having-mastered of-Gauls king
Κόσσος μὲν οὖν καὶ Μάρκελλος ἤδη τεθρίπποις
Cossus indeed then and Marcellus already with-four-horse-cars
εἰσήλαυνον αὐτοὶ τὰ τρόπαια φέροντε· Ῥωμύλον δ' οὐκ
drove-in themselves the trophies carrying Romulus but not

ὀρθῶς φησιν ἅρματι χρήσασθαι Διονύσιος. Ταρκύνιον γὰρ
rightly says chariot to-have-used Dionysius Tarquinius for
ἱστοροῦσι τὸν Δημαράτου τῶν βασιλέων πρῶτον εἰς
they-record the(-son) of-Demaratus of-the kings first to
τοῦτο τὸ σχῆμα καὶ τὸν ὄγκον ἐξᾶραι τοὺς θριάμβους·
this the form and the pomp to-have-raised the triumphs
ἕτεροι δὲ πρῶτον ἐφ' ἅρματος θριαμβεῦσαι Ποπλικόλαν.
others and first on chariot to-have-triumphed Publicola
τοῦ δὲ Ῥωμύλου τὰς εἰκόνας ὁρᾶν ἔστιν ἐν Ῥώμῃ
— and of-Romulus the statues to-see is-possible in Rome
τὰς τροπαιοφόρους πεζὰς ἁπάσας.
the(-ones) trophy-bearing on-foot all

V · TARPEIA AND THE SABINE WAR

Tatius and the Sabines march on Rome. Tarpeia betrays the citadel for what the Sabines wear on their left arms, and they crush her with their shields; Simylus' verses make her love a Celtic king. In the hollow below, Curtius' horse sinks in the marsh; Romulus, struck by a stone, prays to Zeus to stay the rout, where the temple of Zeus Stator now stands. The Sabine women run between the lines and make peace; the peoples share the city, its tribes and kings, the women are honored, and the sacred cornel springs from Romulus' spear.

17 Μετὰ δὲ τὴν Κενινητῶν ἅλωσιν ἔτι τῶν ἄλλων
after and the of-Caeninenses capture still the other
Σαβίνων ἐν παρασκευαῖς ὄντων, συνέστησαν οἱ Φιδήνην
Sabines in preparations being combined those Fidenae
καὶ Κρουστουμέριον καὶ Ἀντέμναν οἰκοῦντες ἐπὶ τοὺς
and Crustumerium and Antemna inhabiting against the
Ῥωμαίους· καὶ μάχης γενομένης ἡττηθέντες ὁμοίως, τάς τε
Romans and battle having-taken-place defeated likewise the both

πόλεις Ῥωμύλῳ παρῆκαν ἐλεῖν καὶ τὴν χώραν δάσασθαι καὶ
cities to-Romulus allowed to-take and the land to-divide and
μετοικίσαι σφᾶς αὐτοὺς εἰς Ῥώμην. ὁ δὲ Ῥωμύλος τὴν μὲν
to-transplant them selves to Rome — and Romulus the indeed
ἄλλην κατένειμε χώραν τοῖς πολίταις, ὅσην δ' εἶχον οἱ τῶν
other distributed land to-the citizens as-much-as but held the of-the
ἡρπασμένων παρθένων πατέρες, αὐτοὺς ἔχειν ἐκείνους εἴασεν.
carried-off maidens fathers themselves to-hold those he-allowed
Ἐπὶ τούτοις βαρέως φέροντες οἱ λοιποὶ Σαβῖνοι Τάτιον
at these(-things) heavily taking(-it) the remaining Sabines Tatius
ἀποδείξαντες στρατηγὸν ἐπὶ τὴν Ῥώμην ἐστράτευσαν·
having-appointed general against — Rome marched
ἦν δὲ δυσπρόσοδος ἡ πόλις, ἔχουσα πρόβλημα τὸ νῦν
was and hard-to-approach the city having (as)-bulwark the now
Καπιτώλιον, ἐν ᾧ φρουρὰ καθειστήκει καὶ Ταρπήϊος
Capitol in which garrison had-been-stationed and Tarpeius
ἡγεμὼν αὐτῆς, οὐχὶ Ταρπηΐα παρθένος, ὡς ἔνιοι λέγουσιν,
commander of-it not Tarpeia maiden as some say
εὐήθη τὸν Ῥωμύλον ἀποδεικνύοντες· ἀλλὰ θυγάτηρ ἡ
simple — Romulus showing but daughter —
Ταρπηΐα τοῦ ἄρχοντος οὖσα προὔδωκε τοῖς Σαβίνοις,
Tarpeia of-the commander being betrayed(-it) to-the Sabines
ἐπιθυμήσασα τῶν χρυσῶν βραχιονιστήρων οὓς εἶδε
having-coveted the golden armlets which she-saw
περικειμένους, καὶ ἤτησε μισθὸν τῆς προδοσίας ἃ φοροῖεν
worn-around(-them) and asked (as)-pay of-the treachery what they-wore
ἐν ταῖς ἀριστεραῖς χερσί. συνθεμένου δὲ τοῦ Τατίου, νύκτωρ
on the left hands having-agreed and — Tatius by-night
ἀνοίξασα πύλην μίαν ἐδέξατο τοὺς Σαβίνους. οὐ μόνος
having-opened gate one she-received the Sabines not alone
οὖν, ὡς ἔοικεν, Ἀντίγονος ἔφη προδιδόντας μὲν φιλεῖν,
then as it-seems Antigonus said those-betraying indeed to-love

προδεδωκότας δὲ μισεῖν, οὐδὲ Καῖσαρ, εἰπὼν ἐπὶ
those-having-betrayed but to-hate nor Caesar having-said in-the-case-of
τοῦ Θρᾳκὸς Ῥοιμητάλκου, φιλεῖν μὲν προδοσίαν, προδότην
the Thracian Rhoemetalces to-love indeed treachery traitor
δὲ μισεῖν· ἀλλὰ κοινόν τι τοῦτο πάθος ἐστὶ πρὸς τοὺς
but to-hate but common some this feeling is toward the
πονηροὺς τοῖς δεομένοις αὐτῶν, ὥσπερ ἰοῦ καὶ χολῆς
wicked in-those needing them as of-venom and gall
ἐνίων θηρίων δέονται· τὴν γὰρ χρείαν ὅτε λαμβάνουσιν
of-some beasts they-need the for use when they-get
ἀγαπῶντες, ἐχθαίρουσι τὴν κακίαν ὅταν τύχωσι.
loving they-hate the vice when they-have-obtained(-it)
τοῦτο καὶ πρὸς τὴν Ταρπηΐαν τότε παθὼν ὁ Τάτιος,
this also toward — Tarpeia then having-felt — Tatius
ἐκέλευσε μεμνημένους τῶν ὁμολογιῶν τοὺς Σαβίνους
ordered remembering the agreements the Sabines
μηδενὸς αὐτῇ φθονεῖν ὧν ἐν ταῖς ἀριστεραῖς ἔχουσι. καὶ
nothing to-her to-grudge of-what on the left(-arms) they-have and
πρῶτος ἅμα τὸν βραχιονιστῆρα τῆς χειρὸς περιελὼν
first at-once the armlet from-the arm having-taken-off
καὶ τὸν θυρεὸν ἐπέρριψε. πάντων δὲ αὐτὸ ποιούντων,
also the shield threw-on(-her) all and it doing
βαλλομένη τε τῷ χρυσῷ καὶ καταχωσθεῖσα τοῖς θυρεοῖς,
pelted both with-the gold and buried by-the shields
ὑπὸ πλήθους καὶ βάρους ἀπέθανεν. ἑάλω δὲ καὶ
from number and weight she-died was-convicted and also
Ταρπήϊος προδοσίας ὑπὸ Ῥωμύλου διωχθείς, ὡς Ἰόβας
Tarpeius of-treachery by Romulus prosecuted as Juba
φησὶ Γάλβαν Σουλπίκιον ἱστορεῖν. τῶν δ' ἄλλα περὶ
says Galba Sulpicius records of-those and other-things about
Ταρπηΐας λεγόντων ἀπίθανοι μέν εἰσιν οἱ Τατίου θυγατέρα
Tarpeia saying unconvincing indeed are those of-Tatius daughter

τοῦ ἡγεμόνος τῶν Σαβίνων οὖσαν αὐτήν, Ῥωμύλῳ δὲ βίᾳ
the leader of-the Sabines being her with-Romulus and by-force
συνοικοῦσαν, ἱστοροῦντες ταῦτα ποιῆσαι καὶ παθεῖν
living recording these-things to-have-done and to-have-suffered
ὑπὲρ τοῦ πατρός· ὧν καὶ Ἀντίγονός ἐστι. Σιμύλος δ'
for the father of-whom also Antigonus is Simylus and
ὁ ποιητὴς καὶ παντάπασι ληρεῖ μὴ Σαβίνοις οἰόμενος,
the poet also altogether talks-nonsense not to-Sabines thinking
ἀλλὰ Κελτοῖς τὴν Ταρπηΐαν προδοῦναι τὸ Καπιτώλιον
but to-Celts — Tarpeia to-have-betrayed — Capitol
ἐρασθεῖσαν αὐτῶν τοῦ βασιλέως. λέγει δὲ ταῦτα·
having-fallen-in-love-with of-them the king says and these-things

Ἡ δ' ἀγχοῦ Τάρπεια παραὶ Καπιτώλιον αἶπος
She and near Tarpeia beside Capitoline height
ναίουσα Ῥώμης ἔπλετο τειχολέτις,
dwelling of-Rome became destroyer-of-the-walls
Κελτῶν ἣ στέρξασα γαμήλια λέκτρα γενέσθαι
Of-Celts who having-longed marriage bed to-become
σκηπτούχῳ, πατέρων οὐκ ἐφύλαξε δόμους.
for-the-sceptered(-king) of-fathers not guarded the-houses

καὶ μετ᾽ ὀλίγα περὶ τῆς τελευτῆς·
and after a-little about the end

Τὴν δ᾽ οὔτ᾽ ἂρ Βόϊοί τε καὶ ἔθνεα μυρία Κελτῶν
Her and not then Boii both and tribes countless of-Celts
χηράμενοι ῥείθρων ἐντὸς ἔθεντο Πάδου·
rejoicing of-the-streams within placed of-Padus
ὅπλα δ᾽ ἐπιπροβαλόντες ἀρειμανέων ἀπὸ χειρῶν
arms and having-thrown-on warlike from hands
κούρῃ ἐπὶ στυγερῇ κόσμον ἔθεντο φόνον.
the-girl on hateful (as)-adornment they-made the-murder

18 Τῆς μέντοι Ταρπηΐας ἐκεῖ ταφείσης ὁ λόφος ὠνομάζετο
— however of-Tarpeia there buried the hill was-named
Ταρπήϊος, ἄχρι οὗ Ταρκυνίου βασιλέως Διὶ τὸν τόπον
Tarpeian until which Tarquinius king to-Zeus the place
καθιεροῦντος ἅμα τά τε λείψανα μετηνέχθη καὶ τοὔνομα τῆς
consecrating at-once the both remains were-transferred and the-name —
Ταρπηΐας ἐξέλιπε. πλὴν πέτραν ἔτι νῦν ἐν τῷ Καπιτωλίῳ
of-Tarpeia died-out except rock still now in — Capitol
Ταρπηΐαν καλοῦσιν, ἀφ᾽ ἧς ἐρρίπτουν τοὺς κακούργους.
Tarpeian they-call from which they-used-to-hurl the malefactors
Ἐχομένης δὲ τῆς ἄκρας ὑπὸ τῶν Σαβίνων, ὅ τε
being-held and the citadel by the Sabines — both
Ῥωμύλος ὑπ᾽ ὀργῆς εἰς μάχην αὐτοὺς προὐκαλεῖτο, καὶ
Romulus from anger to battle them challenged and
ὁ Τάτιος ἐθάρρει, καρτεράν, εἰ βιασθεῖεν, ἀναχώρησιν
— Tatius was-confident strong if they-should-be-forced retreat
ὁρῶν αὐτοῖς ὑπάρχουσαν. ὁ γὰρ μεταξὺ τόπος, ἐν ᾧ
seeing for-them being-available the for between place in which
συμπίπτειν ἔμελλον, ὑπὸ πολλῶν λόφων περιεχόμενος
to-clash they-were-about by many hills surrounded

ἀγῶνα μὲν ὀξὺν ἐδόκει καὶ χαλεπὸν ὑπὸ δυσχωρίας
contest indeed sharp seemed and hard from rough-ground
ἀμφοτέροις παρέξειν, φυγὰς δὲ καὶ διώξεις ἐν στενῷ
for-both to-afford flights and also pursuits in narrow-space
βραχείας. ἔτυχε δὲ τοῦ ποταμοῦ λιμνάσαντος οὐ πολλαῖς
short it-happened and the river having-flooded not many
πρότερον ἡμέραις, ἐγκαταλελεῖφθαι τέλμα βαθὺ καὶ τυφλὸν
before days to-have-been-left swamp deep and hidden
ἐν τόποις ἐπιπέδοις κατὰ τὴν νῦν οὖσαν ἀγοράν· ὅθεν οὐκ
in places level at the now being forum whence not
ἦν ὄψει πρόδηλον, οὐδ' εὐφύλακτον, ἄλλως δὲ χαλεπὸν
it-was to-sight manifest nor easy-to-guard otherwise and dangerous
καὶ ὕπουλον. ἐπὶ τοῦτο τοῖς Σαβίνοις ἀπειρίᾳ
and treacherous toward this for-the Sabines through-inexperience
φερομένοις εὐτύχημα γίγνεται. Κούρτιος γὰρ ἀνὴρ ἐπιφανής,
rushing good-fortune happens Curtius for a-man distinguished
δόξῃ καὶ φρονήματι γαῦρος, ἵππον ἔχων πολὺ πρὸ τῶν
in-repute and in-spirit proud horse having far ahead-of the
ἄλλων ἐχώρει· δεξαμένου δὲ τοῦ βαράθρου τὸν ἵππον
others advanced having-received and the gulf the horse
ἄχρι μέν τινος ἐπειρᾶτο πληγῇ καὶ παρακελεύσει
up-to indeed some(-point) he-tried with-blow and urging
χρώμενος ἐξελαύνειν, ὡς δ' ἦν ἀμήχανον, ἐάσας τὸν
using to-drive-out when but it-was impossible having-let-go the
ἵππον ἑαυτὸν ἔσωζεν. ὁ μὲν οὖν τόπος δι' ἐκεῖνον
horse himself he-saved the indeed then place because-of him
ἔτι νῦν Κούρτιος λάκκος ὀνομάζεται· φυλαξάμενοι δὲ τὸν
still now Curtian pool is-named having-avoided and the
κίνδυνον οἱ Σαβῖνοι μάχην καρτερὰν ἐμαχέσαντο κρίσιν
danger the Sabines battle stubborn fought decision
οὐ λαβοῦσαν, καίτοι πολλῶν πεσόντων, ἐν οἷς ἦν καὶ
not having-received and-yet many having-fallen among whom was also

Ὁστίλιος. τοῦτον Ἑρσιλίας ἄνδρα καὶ πάππον Ὁστιλίου
Hostilius this(-man) of-Hersilia husband and grandfather of-Hostilius
τοῦ μετὰ Νομᾶν βασιλεύσαντος γενέσθαι λέγουσιν.
the(-one) after Numa having-reigned to-have-been they-say
αὖθις δὲ πολλῶν ἀγώνων ἐν βραχεῖ συνισταμένων, ὡς
again and many contests in short(-time) taking-place as
εἰκός, ἑνὸς μάλιστα τοῦ τελευταίου μνημονεύουσιν, ἐν ᾧ
is-likely one most the last they-recall in which
Ῥωμύλου τὴν κεφαλὴν πληγέντος λίθῳ καὶ πεσεῖν
Romulus on-the head having-been-struck with-stone and to-fall
ὀλίγον δεήσαντος τοῦ τ' ἀντέχειν ὑφεμένου τοῖς Σαβίνοις,
a-little having-wanted the and to-resist having-given-up to-the Sabines
ἐνέδωκαν οἱ Ῥωμαῖοι καὶ φυγῇ πρὸς τὸ Παλάτιον ἐχώρουν
gave-way the Romans and in-flight toward — Palatine advanced
ἐξωθούμενοι τῶν ἐπιπέδων. ἤδη δὲ ὁ Ῥωμύλος ἐκ τῆς
being-thrust-out from-the levels already and — Romulus from the
πληγῆς ἀναφέρων ἐβούλετο μὲν εἰς τὰ ὅπλα χωρεῖν τοῖς
blow recovering wished indeed into the arms to-advance to-those
φεύγουσιν ἐναντίως, καὶ μέγα βοῶν ἵστασθαι καὶ μάχεσθαι
fleeing contrary and loudly shouting to-stand and to-fight
παρεκάλει. πολλῆς δὲ τῆς φυγῆς αὐτῷ περιχεομένης καὶ
urged great and the flight around-him flooding and
μηδενὸς ἀναστρέφειν τολμῶντος, ἀνατείνας εἰς οὐρανὸν
no-one to-turn-back daring having-raised to heaven
τὰς χεῖρας εὔξατο τῷ Διὶ στῆσαι τὸ στράτευμα καὶ τὰ
the hands he-prayed — to-Zeus to-stop the army and the
Ῥωμαίων πράγματα πεσόντα μὴ περιιδεῖν, ἀλλ' ὀρθῶσαι.
of-Romans affairs fallen not to-overlook but to-raise-up
γενομένης δὲ τῆς εὐχῆς, αἰδώς τε τοῦ βασιλέως
having-taken-place and the prayer shame both for-the king
ἔσχε πολλοὺς καὶ θάρσος ἐκ μεταβολῆς παρέστη τοῖς
seized many and courage from change came to-those

φεύγουσιν. ἔστησαν οὖν πρῶτον οὗ νῦν ὁ τοῦ Διὸς τοῦ
fleeing they-stood then first where now the — of-Zeus the
Στάτορος ἵδρυται νεώς, ὃν ἐπιστάσιον ἄν τις ἑρμηνεύσειεν·
Stator is-set-up temple which stayer — one might-interpret
εἶτα συνασπίσαντες πάλιν ἔωσαν ὀπίσω τοὺς Σαβίνους ἐπὶ
then having-closed-ranks again they-pushed back the Sabines to
τὴν νῦν Ῥήγιαν προσαγορευομένην καὶ τὸ τῆς Ἑστίας ἱερόν.
the now Regia called and the — of-Hestia temple
Ἐνταῦθα δ' αὐτοὺς ὥσπερ ἐξ ὑπαρχῆς μάχεσθαι 19
here and them as from beginning to-fight
παρασκευαζομένους ἐπέσχε δεινὸν ἰδεῖν θέαμα καὶ λόγου
preparing checked terrible to-see sight and than-word
κρείττων ὄψις. αἱ γὰρ ἡρπασμέναι θυγατέρες τῶν Σαβίνων
stronger view the for carried-off daughters of-the Sabines
ὤφθησαν ἀλλαχόθεν ἄλλαι μετὰ βοῆς καὶ ὀλολυγμοῦ
were-seen from-here-and-there others with shout and wailing
διὰ τῶν ὅπλων φερόμεναι καὶ τῶν νεκρῶν, ὥσπερ ἐκ
through the arms rushing and the corpses as from
θεοῦ κάτοχοι, πρός τε τοὺς ἄνδρας αὑτῶν καὶ τοὺς
god possessed toward both the husbands of-them and the
πατέρας, αἱ μὲν παιδία κομίζουσαι νήπια πρὸς ταῖς
fathers the(-ones) indeed children carrying infants at the
ἀγκάλαις, αἱ δὲ τὴν κόμην προϊσχόμεναι λελυμένην,
arms the(-others) and the hair holding-forth loosed
πᾶσαι δ' ἀνακαλούμεναι τοῖς φιλτάτοις ὀνόμασι ποτὲ μὲν
all and calling-on by-the dearest names now indeed
τοὺς Σαβίνους, ποτὲ δὲ τοὺς Ῥωμαίους. ἐπεκλάσθησαν οὖν
the Sabines now and the Romans were-broken then
ἀμφότεροι, καὶ διέσχον αὐταῖς ἐν μέσῳ καταστῆναι τῆς
both and made-way for-them in middle to-stand of-the
παρατάξεως· καὶ κλαυθμὸς ἅμα διὰ πάντων ἐχώρει, καὶ
battle-line and weeping at-once through all went and

πολὺς οἶκτος ἦν πρός τε τὴν ὄψιν καὶ τοὺς λόγους
much pity there-was at both the sight and the words
ἔτι μᾶλλον, εἰς ἱκεσίαν καὶ δέησιν ἐκ δικαιολογίας καὶ
still more to supplication and entreaty from pleading and
παρρησίας τελευτῶντας. "Τί γὰρ (ἔφασαν) ὑμᾶς δεινὸν
frankness ending what for they-said you terrible
ἢ λυπηρὸν ἐργασάμεναι, τὰ μὲν ἤδη πεπόνθαμεν,
or grievous having-done the(-things) indeed already we-have-suffered
τὰ δὲ πάσχομεν τῶν σχετλίων κακῶν; ἡρπάσθημεν ὑπὸ
the(-others) and we-suffer of-the cruel ills we-were-carried-off by
τῶν νῦν ἐχόντων βίᾳ καὶ παρανόμως, ἁρπασθεῖσαι δ'
those now having(-us) by-force and lawlessly having-been-carried-off and
ἠμελήθημεν ὑπ' ἀδελφῶν καὶ πατέρων καὶ οἰκείων χρόνον
we-were-neglected by brothers and fathers and kinsmen time
τοσοῦτον ὅσος ἡμᾶς πρὸς τὰ ἔχθιστα κεράσας ταῖς
so-long as-much-as us to the most-hateful having-joined by-the
μεγίσταις ἀνάγκαις, πεποίηκε νῦν ὑπὲρ τῶν βιασαμένων
greatest necessities has-made now for those having-forced
καὶ παρανομησάντων δεδιέναι μαχομένων καὶ κλαίειν
and having-transgressed to-fear fighting and to-weep
θνησκόντων. οὐ γὰρ ἤλθετε τιμωρήσοντες ἡμῖν παρθένοις
dying not for you-came going-to-avenge for-us maidens
οὔσαις ἐπὶ τοὺς ἀδικοῦντας, ἀλλὰ νῦν ἀνδρῶν ἀποσπᾶτε
being against those wronging(-us) but now from-husbands you-tear-away
γαμετὰς καὶ τέκνων μητέρας, οἰκτροτέραν βοήθειαν ἐκείνης
wives and of-children mothers more-pitiable help than-that
τῆς ἀμελείας καὶ προδοσίας βοηθοῦντες ἡμῖν ταῖς ἀθλίαις.
the neglect and betrayal helping us the wretched
τοιαῦτα μὲν ἠγαπήθημεν ὑπὸ τούτων, τοιαῦτα δ' ὑφ'
such indeed we-were-loved by these such and by
ὑμῶν ἐλεούμεθα. καὶ γὰρ εἰ δι' ἄλλην αἰτίαν ἐμάχεσθε,
you we-are-pitied and for if through other cause you-were-fighting

παύσασθαι δι᾽ ἡμᾶς πενθεροὺς γεγονότας καὶ πάππους
to-stop because-of us fathers-in-law having-become and grandfathers
καὶ οἰκείους ὄντας ἐχρῆν. εἰ δ᾽ ὑπὲρ ἡμῶν ὁ πόλεμός
and kinsmen being it-was-needful if but for us the war
ἐστι, κομίσασθε ἡμᾶς μετὰ γαμβρῶν καὶ τέκνων καὶ
is take-back us with sons-in-law and children and
ἀπόδοτε ἡμῖν πατέρας καὶ οἰκείους, μηδὲ ἀφέλησθε παῖδας
give-back to-us fathers and kinsmen nor take-away children
καὶ ἄνδρας. ἱκετεύομεν ὑμᾶς μὴ πάλιν αἰχμάλωτοι γενέσθαι.”
and husbands we-beseech you not again captives to-become
Τοιαῦτα πολλὰ τῆς Ἑρσιλίας προαγορευούσης καὶ τῶν
such-things many — Hersilia saying and the
ἄλλων δεομένων, ἐσπείσθησαν ἀνοχαὶ καὶ συνῆλθον εἰς
other(-women) begging were-made truces and came into
λόγους οἱ ἡγεμόνες. αἱ δὲ γυναῖκες ἐν τούτῳ τοῖς πατράσι
κατάδηλον. ὡς οὖν ἐπεῖδον, εὐθὺς ἐξῄεσαν ἐπειγόμενοι καὶ
plain when then they-saw at-once they-went-out hastening and
διὰ τὴν ἔπειξιν ἀλλήλους περὶ τὰς πύλας ἀνακαλοῦντες
because-of the haste each-other at the gates calling
πολλάκις. ἐμπεσόντες δὲ τοῖς πολεμίοις ἀπροσδοκήτως καὶ
often having-fallen and on-the enemy unexpectedly and
κρατήσαντες, ἐπινίκιον ἄγουσι τὴν ἑορτήν. καὶ Καπρατῖναι
having-conquered victory they-keep the festival and Capratinae
μὲν αἱ νῶναι καλοῦνται διὰ τὸν ἐρινεόν, καπρίφικον
indeed the nonae are-called because-of the wild-fig caprificus
ὑπὸ Ῥωμαίων ὀνομαζόμενον, ἑστιῶσι δὲ τὰς γυναῖκας
by Romans named they-feast and the women
ἔξω, συκῆς κλάδοις σκιαζομένας. αἱ δὲ θεραπαινίδες
outside of-fig-tree with-branches shaded the and maidservants
ἀγείρουσι περιοῦσαι καὶ παίζουσιν, εἶτα πληγαῖς καὶ
collect going-about and play then with-blows and
βολαῖς λίθων χρῶνται πρὸς ἀλλήλας, ὡς καὶ τότε τοῖς
throwings of-stones deal with one-another as also then to-the
Ῥωμαίοις παραγενόμεναι καὶ συναγωνισάμεναι μαχομένοις.
Romans having-assisted and having-fought-with(-them) fighting
ταῦτ' οὖν πολλοὶ προσίενται τῶν συγγραφέων, ἀλλὰ καὶ
these-things then many accept of-the historians but both
τὸ μεθ' ἡμέραν χρῆσθαι τῇ ἀνακλήσει τῶν ὀνομάτων καὶ
the by day to-use the calling of-the names and
τὸ πρὸς τὸ ἕλος τὸ τῆς αἰγὸς ὡς ἐπὶ θυσίαν βαδίζοντας
the to the marsh the of-the goat as to sacrifice going
ἔοικε τῷ προτέρῳ λόγῳ προστίθεσθαι μᾶλλον, εἰ μὴ νὴ
seems the former account to-be-added-to rather if not by
Δία τῆς αὐτῆς ἡμέρας ἐν χρόνοις ἑτέροις ἀμφότερα τὰ
Zeus of-the same day in times different both the

πάθη συνέτυχε γενέσθαι. λέγεται δὲ Ῥωμύλος τέσσαρα
events happened to-take-place it-is-said and Romulus four
μὲν ἔτη καὶ πεντήκοντα γεγονώς, ὄγδοον δὲ βασιλεύων
indeed years and fifty having-become eighth and reigning
ἐκεῖνο καὶ τριακοστὸν ἐξ ἀνθρώπων ἀφανισθῆναι.
that and thirtieth from men to-have-vanished

PLUTARCH

ΘΗΣΕΩΣ ΚΑΙ ΡΩΜΥΛΟΥ ΣΥΓΚΡΙΣΙΣ

Comparison of Theseus and Romulus

Theseus took up great deeds by choice, when he might have reigned untroubled at Troezen; Romulus was driven to them by fear and necessity. Theseus freed Greece of its robbers on others' behalf, and his voyage with the Cretan tribute outshines Romulus' wars. Both fell from kingly rule, one toward democracy, the other toward tyranny. Theseus' curse on his son was less to blame than Romulus' anger at his brother, and Aegeus' death stains Theseus. Romulus built a city from nothing; Theseus' rapes were insolent where the Sabine rape made a union, and the gods attended Romulus' preservation, while Theseus' begetting defied an oracle.

Ἃ μὲν οὖν ἄξια μνήμης πυθέσθαι περὶ Ῥωμύλου καὶ 1
what indeed then worthy of-record to-learn about Romulus and
Θησέως συμβέβηκεν ἡμῖν, ταῦτ' ἐστί. φαίνεται δὲ πρῶτον
Theseus has-befallen to-us these-things are appears and first
ὁ μὲν ἐκ προαιρέσεως, οὐδενὸς ἀναγκάζοντος, ἀλλ'
the(-one) indeed from choice no-one compelling but
ἐξὸν ἀδεῶς ἐν Τροιζῆνι βασιλεύειν διαδεξάμενον
it-being-possible without-fear in Troezen to-reign having-succeeded-to
ἀρχὴν οὐκ ἄδοξον, αὐτὸς ἀφ' ἑαυτοῦ μεγάλων ὀρεχθείς·
rule not inglorious himself of himself great(-things) having-desired
ὁ δὲ δουλείας φυγῇ παρούσης καὶ τιμωρίας
the(-other) and of-slavery by-flight being-at-hand and of-punishment
ἐπιφερομένης, ἐκεῖνο τὸ τοῦ Πλάτωνος, ἀτεχνῶς ὑπὸ δέους
impending that the — of-Plato simply from fear
ἀνδρεῖος γενόμενος, καὶ φόβῳ τοῦ τὰ ἔσχατα παθεῖν ἐπὶ
brave having-become and from-fear of-the the extreme to-suffer to
τὸ δρᾶν μεγάλα δι' ἀνάγκην παραγενόμενος. ἔπειτα
the doing great(-things) through necessity having-come then
τούτου μὲν ἔργον ἐστὶ τὸ μέγιστον ἀνελεῖν ἕνα τὸν
of-this(-one) indeed deed is the greatest to-have-slain one the
Ἄλβης τύραννον, ἐκείνου δὲ πάρεργα καὶ προάγωνες
of-Alba tyrant of-that(-one) and by-works and preliminary-contests

ἦσαν ὁ Σκείρων, ὁ Σίνις, ὁ Προκρούστης, ὁ Κορυνήτης,
were — Sciron — Sinis — Procrustes — Club-man
οὓς ἀναιρῶν καὶ κολάζων ἀπήλαττε τὴν Ἑλλάδα δεινῶν
whom slaying and punishing he-freed — Greece from-terrible
τυράννων πρὶν ὅστις ἐστὶ γινώσκειν τοὺς ὑπ' αὐτοῦ
tyrants before who he-is to-know those by him
σωζομένους. καὶ τῷ μὲν παρῆν ἀπραγμόνως
being-saved and to-the(-one) indeed it-was-possible without-trouble
κομίζεσθαι διὰ θαλάττης ἀδικουμένῳ μηδὲν ὑπὸ τῶν
to-travel through sea wronged in-nothing by the
λῃστῶν, Ῥωμύλῳ δ' οὐ παρῆν μὴ πράγματα ἔχειν
robbers to-Romulus but not it-was-possible not troubles to-have
Ἀμουλίου ζῶντος. μέγα δὲ τούτου τεκμήριον· ὁ μὲν
Amulius living great and of-this proof the(-one) indeed
γὰρ οὐδὲν αὐτὸς ἀδικούμενος ὥρμησεν ὑπὲρ ἄλλων
for in-nothing himself being-wronged set-out on-behalf-of others
ἐπὶ τοὺς πονηρούς, οἱ δ' ὅσον αὐτοὶ κακῶς οὐκ
against the wicked the(-others) but as-long-as themselves badly not
ἔπασχον ὑπὸ τοῦ τυράννου, περιεώρων ἀδικοῦντα πάντας.
suffered from the tyrant overlooked(-him) wronging all
καὶ μὴν εἰ μέγα τὸ τρωθῆναι μαχόμενον Σαβίνοις καὶ
and indeed if great the to-be-wounded fighting with-Sabines and
ἀνελεῖν Ἄκρωνα καὶ πολλῶν μάχῃ κρατῆσαι πολεμίων,
to-slay Acron and many in-battle to-conquer enemies
τούτοις μὲν ἔστι τοῖς ἔργοις κενταυρομαχίαν καὶ
to-these indeed it-is-possible the deeds centaur-battle and
τὰ πρὸς Ἀμαζόνας παραβαλεῖν· ὃ δ' ἐτόλμησε
the(-feats) against Amazons to-compare what and dared
Θησεὺς περὶ τὸν Κρητικὸν δασμόν, εἴτε τινὶ θηρίῳ
Theseus about the Cretan tribute whether for-some beast
βοράν, εἴτε πρόσφαγμα τοῖς Ἀνδρόγεω τάφοις, εἴθ', ὃ
food or victim for-the of-Androgeos tombs or what

κουφότατόν ἐστι τῶν λεγομένων, λατρεύειν παρ'
lightest is of-the(-things) said to-serve among
ἀνδράσιν ὑβρισταῖς καὶ δυσμενέσιν ἀκλεῆ λατρείαν καὶ
men insolent and hostile inglorious service and
ἄτιμον ἐπιδοὺς ἑαυτόν, ἑκουσίως μετὰ παρθένων πλεύσας
dishonorable having-given himself willingly with maidens having-sailed
καὶ παίδων νέων, οὐκ ἂν εἴποι τις ἡλίκης ἐστὶ τόλμης
and children young not — would-say anyone of-how-great it-is daring
ἢ μεγαλοφροσύνης ἢ δικαιοσύνης περὶ τὸ κοινὸν ἢ
or magnanimity or justice toward the common(-good) or
πόθου δόξης καὶ ἀρετῆς. ὥστ' ἔμοιγε φαίνεται μὴ κακῶς
longing for-glory and virtue so-that to-me-at-least it-appears not badly
ὁρίζεσθαι τοὺς φιλοσόφους τὸν ἔρωτα θεῶν ὑπηρεσίαν πρὸς
to-define the philosophers the love of-gods service for
ἐπιμέλειαν καὶ σωτηρίαν νέων. ὁ γὰρ Ἀριάδνης ἔρως
care and preservation of-young(-people) the for of-Ariadne love
παντὸς μᾶλλον ἔοικεν ἔργον θεοῦ καὶ μηχανὴ γενέσθαι
than-all rather seems work of-god and device to-have-been
σωτηρίας ἕνεκα τοῦ ἀνδρός. καὶ οὐκ ἄξιον αἰτιᾶσθαι τὴν
of-safety for-the-sake of-the man and not worthy to-blame the
ἐρασθεῖσαν, ἀλλὰ θαυμάζειν εἰ μὴ πάντες οὕτω καὶ πᾶσαι
having-loved but to-wonder if not all so and all(-women)
διετέθησαν· εἰ δ' ἐκείνη μόνη τοῦτ' ἔπαθεν, εἰκότως ἔγωγε
were-disposed if but she alone this felt reasonably I-at-least
φαίην ἂν αὐτὴν ἀξιέραστον θεῷ γεγονέναι, φιλόκαλον
would-say — her worthy-of-love by-god to-have-been loving-the-beautiful
καὶ φιλάγαθον καὶ τῶν ἀρίστων ἐρωτικὴν οὖσαν.
and loving-the-good and of-the best enamored being
Ἀμφοτέρων τοίνυν τῇ φύσει πολιτικῶν γεγονότων, 2
both then by-the nature statesmanlike having-been
οὐδέτερος διεφύλαξε τὸν βασιλικὸν τρόπον· ἐξέστη δὲ
neither preserved the kingly character departed but

καὶ μετέβαλε μεταβολὴν ὁ μὲν δημοτικήν, ὁ
and changed change the(-one) indeed democratic the(-other)
δὲ τυραννικήν, ταὐτὸν ἀπ᾽ ἐναντίων παθῶν ἁμαρτόντες.
and tyrannical the-same from opposite feelings having-erred
δεῖ γὰρ τὸν ἄρχοντα σώζειν πρῶτον αὐτὴν τὴν ἀρχήν·
it-is-needful for the ruler to-preserve first itself the rule
σώζεται δ᾽ οὐχ ἧττον ἀπεχομένη τοῦ μὴ προσήκοντος ἢ
it-is-preserved and not less abstaining from-the not fitting than
περιεχομένη τοῦ προσήκοντος. ὁ δ᾽ ἐνδιδοὺς ἢ ἐπιτείνων οὐ
holding-to the fitting he but relaxing or straining not
μένει βασιλεὺς οὐδὲ ἄρχων, ἀλλ᾽ ἢ δημαγωγὸς ἢ δεσπότης
remains king nor ruler but either demagogue or despot
γιγνόμενος, ἐμποιεῖ τὸ μισεῖν ἢ καταφρονεῖν τοῖς ἀρχομένοις.
becoming implants the to-hate or to-despise in-the ruled
οὐ μὴν ἀλλ᾽ ἐκεῖνο μὲν ἐπιεικείας δοκεῖ καὶ φιλανθρωπίας
not indeed but that indeed of-reasonableness seems and of-humanity
εἶναι, τοῦτο δὲ φιλαυτίας ἁμάρτημα καὶ χαλεπότητος.
to-be this and of-selfishness error and of-harshness
3 Εἰ δὲ δεῖ καὶ τὰ δυστυχηθέντα μὴ παντάπασι
if and it-is-needful also the misfortunes not altogether
ποιεῖσθαι δαίμονος, ἀλλ᾽ ἠθικὰς καὶ παθητικὰς ζητεῖν
to-make of-fortune but moral and emotional to-seek
ἐν αὐτοῖς διαφοράς, θυμοῦ μὲν ἀλογίστου καὶ τάχος
in them differences of-anger indeed unreasoning and haste
ἐχούσης ἄβουλον ὀργῆς μήτε τις ἐκεῖνον ἐν τοῖς
having rash of-wrath neither anyone him in the(-things)
πρὸς τὸν ἀδελφὸν ἀπολυέτω μήτε τοῦτον ἐν τοῖς
toward the brother acquit nor this(-one) in the(-things)
πρὸς τὸν υἱόν· ἡ δὲ κινήσασα τὸν θυμὸν ἀρχὴ μᾶλλον
toward the son the and having-stirred the anger beginning more
παραιτεῖται τὸν ὑπὸ μείζονος αἰτίας ὥσπερ ὑπὸ πληγῆς
excuses the(-one) by greater cause as by blow

χαλεπωτέρας ἀνατραπέντα. Ῥωμύλῳ μὲν γὰρ ἐκ βουλῆς
harsher having-been-overthrown to-Romulus indeed for from counsel
καὶ σκέψεως περὶ κοινῶν συμφερόντων διαφορᾶς γενομένης
and consideration about common interests difference having-arisen
οὐκ ἂν ἠξίωσέ τις ἄφνω τὴν διάνοιαν ἐν τηλικούτῳ
not — would-have-thought anyone suddenly the mind in such
πάθει γενέσθαι· Θησέα δὲ πρὸς τὸν υἱόν, ἃ πάμπαν
passion to-have-come Theseus and against the son what altogether
ὀλίγοι τῶν ὄντων διαπεφεύγασιν, ἔρως καὶ ζηλοτυπία
few of-those being have-escaped love and jealousy
καὶ διαβολαὶ γυναικὸς ἔσφηλαν. ὃ δὲ μεῖζόν ἐστιν, ὁ
and slanders of-a-woman tripped what and greater is the
μὲν Ῥωμύλου θυμὸς εἰς ἔργον ἐξέπεσε καὶ πρᾶξιν οὐκ
indeed of-Romulus anger into deed broke-out and action not
εὐτυχὲς ἔχουσαν τέλος, ἡ δὲ Θησέως ὀργὴ μέχρι λόγου
fortunate having end the and of-Theseus wrath as-far-as word
καὶ βλασφημίας καὶ κατάρας πρεσβυτικῆς προῆλθε, τὰ
and abuse and curse old-man's went the
δ' ἄλλα φαίνεται τῇ τύχῃ χρήσασθαι τὸ μειράκιον.
and other-things appears the fortune to-have-experienced the youth
ὥστε ταύτας μὲν ἄν τις ἀποδοίη τῷ Θησεῖ τὰς ψήφους.
so-that these indeed — one might-give — to-Theseus the votes
Ἐκείνῳ δὲ πρῶτον μὲν ὑπάρχει μέγα τὸ μικροτάτας 4
to-that(-one) and first indeed belongs great the smallest
λαβεῖν ἀρχὰς ἐπὶ τὰ πράγματα. δοῦλοι γὰρ δὴ καὶ
to-have-taken beginnings for the affairs slaves for indeed and
συφορβῶν παῖδες ὀνομαζόμενοι, πρὶν ἐλεύθεροι γενέσθαι,
of-swineherds sons named before free to-become
πάντας ὀλίγου δεῖν ἠλευθέρωσαν Λατίνους, ἐνὶ χρόνῳ τῶν
all of-little to-lack freed Latins at-one time of-the
καλλίστων ὀνομάτων ἅμα τυχόντες, φονεῖς ἐχθρῶν καὶ
fairest names at-once having-obtained slayers of-enemies and

σωτῆρες οἰκείων καὶ βασιλεῖς ἐθνῶν καὶ οἰκισταὶ πόλεων, οὐ
saviors of-kinsmen and kings of-peoples and founders of-cities not
μετοικισταί, καθάπερ ἦν ὁ Θησεύς, ἐκ πολλῶν συντιθεὶς
transplanters as was — Theseus from many putting-together
καὶ συνοικοδομῶν ἓν οἰκητήριον, ἀναιρῶν δὲ πολλὰς πόλεις
and building-together one dwelling destroying and many cities
ἐπωνύμους βασιλέων καὶ ἡρώων παλαιῶν. Ῥωμύλος δὲ
named of-kings and heroes ancient Romulus but
ταῦτα μὲν ὕστερον ἔδρα, τοὺς πολεμίους ἀναγκάζων τὰ
these-things indeed later did the enemies compelling the
οἰκεῖα καταβάλλοντας καὶ ἀφανίζοντας τοῖς νενικηκόσι
own(-homes) tearing-down and obliterating to-the victors
προσνέμεσθαι· τὸ δὲ πρῶτον οὐ μετατιθεὶς οὐδ' αὔξων
to-be-added the and first not transferring nor increasing
τὴν ὑπάρχουσαν, ἀλλὰ ποιῶν ἐξ οὐχ ὑπαρχόντων καὶ
the existing but making from not existing(-things) and
κτώμενος ἑαυτῷ χώραν ὁμοῦ, πατρίδα, βασιλείαν, γένη,
acquiring for-himself land together fatherland kingdom families
γάμους, οἰκειότητας, ἀνῄρει μὲν οὐδένα οὐδὲ ἀπώλλυεν,
marriages relationships he-killed indeed no-one nor destroyed
εὐεργέτει δὲ τοὺς ἐξ ἀοίκων καὶ ἀνεστίων δῆμον
benefited and those from homeless and hearthless people
ἐθέλοντας εἶναι καὶ πολίτας. λῃστὰς δὲ καὶ κακούργους
wishing to-be and citizens robbers and and malefactors
οὐκ ἀπέκτεινεν, ἀλλ' ἔθνη προσηγάγετο πολέμῳ καὶ πόλεις
not he-killed but nations won-over by-war and cities
κατεστρέψατο καὶ βασιλεῖς ἐθριάμβευσε καὶ ἡγεμόνας.
subdued and kings led-in-triumph and commanders
Καὶ τὸ μὲν Ῥώμου πάθος ἀμφισβητούμενον ἔχει τὸν
and the indeed of-Romus fate disputed has the
αὐτόχειρα, καὶ τὸ πλεῖστον εἰς ἑτέρους τῆς αἰτίας τρέπουσι·
slayer and the most onto others of-the blame they-turn

τὴν δὲ μητέρα διολλυμένην ἔσωσε περιφανῶς, καὶ τὸν
the and mother perishing he-saved manifestly and the
πάππον ἀκλεῶς δουλεύοντα καὶ ἀτίμως εἰς τὸν Αἰνείου
grandfather ingloriously serving and dishonorably on the of-Aeneas
θρόνον ἐκάθισε. καὶ πολλὰ μὲν ἑκὼν εὐεργέτησεν, ἔβλαψε
throne he-seated and many indeed willingly he-benefited he-harmed
δὲ αὐτὸν οὐδὲ ἄκων. τὴν δὲ Θησέως λήθην καὶ ἀμέλειαν
and him not-even unwillingly the and of-Theseus forgetfulness and neglect
τῆς περὶ τὸ ἱστίον ἐντολῆς μόλις ἂν οἶμαι μακρᾷ τινι
of-the about the sail command hardly — I-think by-long some
παραιτήσει καὶ ἐν ῥᾳθύμοις δικασταῖς αἰτίαν ἀποφυγεῖν
plea and before easy-going judges charge to-escape
πατροκτονίας· ὃ δὴ καὶ συνιδών τις Ἀττικὸς ἀνὴρ ὡς
of-parricide which indeed also having-perceived some Attic man that
παγχάλεπόν ἐστι βουλομένοις ἀπολογεῖσθαι, πλάττει τὸν
very-hard it-is for-those-wishing to-defend(-him) invents —
Αἰγέα τῆς νεὼς προσφερομένης ὑπὸ σπουδῆς ἀνατρέχοντα
Aegeus the ship approaching in haste running-up
πρὸς τὴν ἀκρόπολιν θέας ἕνεκα καὶ σφαλλόμενον
to the acropolis of-the-view for-the-sake and slipping
καταπεσεῖν, ὥσπερ ὀπαδῶν ἔρημον, ἢ τὴν ἐπὶ θάλατταν
to-have-fallen as-if of-attendants bereft or the to sea
ὁδὸν σπεύδοντι μὴ παρούσης τινὸς θεραπείας.
road hastening not being-present any service
Καὶ μὴν τὰ περὶ τὰς ἁρπαγὰς τῶν γυναικῶν 6
and indeed the(-faults) about the rapes of-the women
ἡμαρτημένα Θησεῖ μὲν εὐσχήμονος ἐνδεᾶ προφάσεως
committed for-Theseus indeed of-a-decent lacking pretext
γέγονε. πρῶτον μὲν ὅτι πολλάκις· ἥρπασε γὰρ Ἀριάδνην
have-been first indeed because often he-carried-off for Ariadne
καὶ Ἀντιόπην καὶ Ἀναξὼ τὴν Τροιζηνίαν, ἐπὶ πάσαις δὲ
and Antiope and Anaxo the Troezenian on all and

τὴν Ἑλένην, παρηκμακὼς οὐκ ἀκμάζουσαν, ἀλλὰ νηπίαν
— *Helen past-his-prime not in-her-prime but child*
καὶ ἄωρον αὐτὸς ὥραν ἔχων ἤδη γάμων πεπαῦσθαι καὶ
and unripe himself the-season having already of-marriages to-have-ceased and
νομίμων· ἔπειτα διὰ τὴν αἰτίαν· οὐ γὰρ ἀξιώτεραί γε
lawful(-ones) then because-of the reason not for more-worthy at-least
παιδοποιοὶ τῶν Ἀθήνησιν Ἐρεχθηίδων καὶ Κεκροπίδων
child-bearers than-the at-Athens Erechtheid and Cecropid
αἱ Τροιζηνίων καὶ Λακώνων καὶ Ἀμαζόνων ἀνέγγυοι
the(-women) of-Troezenians and Laconians and Amazons unbetrothed
θυγατέρες ἦσαν. ἀλλὰ ταῦτα μὲν ὑποψίαν ἔχει πρὸς
daughters were but these-things indeed suspicion have toward
ὕβριν καὶ καθ' ἡδονὴν πεπρᾶχθαι. Ῥωμύλος δὲ πρῶτον
insolence and for pleasure to-have-been-done Romulus and first
μὲν ὀκτακοσίων ὀλίγον ἀριθμῷ δεούσας ἁρπάσας, οὐ
indeed eight-hundred a-little in-number lacking having-carried-off not
πάσας, ἀλλὰ μίαν, ὥς φασιν, Ἑρσιλίαν ἔλαβε, τὰς δ'
all but one as they-say Hersilia took the and
ἄλλας διένειμε τοῖς ἀγαθοῖς τῶν πολιτῶν· ἔπειτα τῇ
others distributed to-the good of-the citizens then by-the
μετὰ ταῦτα τιμῇ καὶ ἀγαπήσει καὶ δικαιοσύνῃ τῇ
after these-things honor and affection and justice the
περὶ τὰς γυναῖκας ἀπέδειξε τὴν βίαν ἐκείνην καὶ τὴν
toward the women he-showed the violence that and the
ἀδικίαν κάλλιστον ἔργον καὶ πολιτικώτατον εἰς κοινωνίαν
injustice fairest deed and most-statesmanlike for partnership
γενομένην. οὕτω συνέμιξεν ἀλλήλοις καὶ συνέπηξε τὰ
having-become so mixed with-one-another and fastened-together the
γένη, καὶ παρέσχε πηγὴν τῆς εἰς αὖθις εὐνοίας καὶ
peoples and provided source of-the for later goodwill and
δυνάμεως τοῖς πράγμασιν. αἰδοῦς δὲ καὶ φιλίας καὶ
power to-the affairs of-modesty and and of-friendship and

βεβαιότητος, ἣν εἰργάσατο περὶ τοὺς γάμους, ὁ χρόνος
of-stability which wrought about the marriages the time
ἐστὶ μάρτυς. ἐν γὰρ ἔτεσι τριάκοντα καὶ διακοσίοις οὔτε
is witness in for years thirty and two-hundred neither
ἀνὴρ ἐτόλμησε γυναικὸς οὔτε γυνὴ κοινωνίαν ἀνδρὸς
man dared of-wife nor wife partnership of-husband
ἐγκαταλιπεῖν, ἀλλ᾽ ὥσπερ ἐν Ἕλλησιν οἱ σφόδρα περιττοὶ
to-abandon but as among Greeks the very curious
τὸν πρῶτον ἔχουσιν εἰπεῖν πατροκτόνον ἢ μητροφόνον,
the first have to-name parricide or matricide
οὕτω Ῥωμαῖοι πάντες ἴσασιν ὅτι Καρβίλιος Σπόριος
so Romans all know that Carvilius Spurius
ἀπεπέμψατο γυναῖκα πρῶτος, ἀπαιδίαν αἰτιασάμενος. τῷ
sent-away wife first childlessness alleging to-the
δὲ τοσούτῳ χρόνῳ συμμαρτυρεῖ καὶ τὰ ἔργα. καὶ γὰρ
and so-great time bear-witness also the facts and for
ἀρχῆς ἐκοινώνησαν οἱ βασιλεῖς, καὶ πολιτείας τὰ γένη
of-rule shared the kings and of-citizenship the peoples
διὰ τὴν ἐπιγαμίαν ἐκείνην· ἀπὸ δὲ τῶν Θησέως γάμων
because-of the intermarriage that from but the of-Theseus marriages
Ἀθηναίοις φιλικὸν μὲν οὐδὲν οὐδὲ κοινωνικὸν ὑπῆρξε
for-Athenians friendly indeed nothing nor sociable arose
πρὸς οὐδένα συμβόλαιον, ἔχθραι δὲ καὶ πόλεμοι καὶ φόνοι
with any(-one) bond enmities but and wars and murders
πολιτῶν καὶ τέλος Ἀφίδνας ἀπολέσαι καὶ μόλις ὑπ᾽ οἴκτου
of-citizens and at-last Aphidnae to-lose and hardly from pity
τῶν πολεμίων, προσκυνήσαντας καὶ θεοὺς ἀνειπόντας,
of-the enemy having-done-obeisance and gods having-proclaimed(-them)
μὴ παθεῖν ἃ Τρῶες ἔπαθον δι᾽ Ἀλέξανδρον. ἡ μέντοι
not to-suffer what Trojans suffered because-of Alexander the however
μήτηρ ἡ Θησέως οὐκ ἐκινδύνευσεν, ἀλλ᾽ ἔπαθε τὰ τῆς
mother the of-Theseus not was-in-danger but suffered the(-lot) —

Ἑκάβης, ἐγκαταλιπόντος καὶ προεμένου τοῦ παιδός,
of-Hecuba having-left-behind and having-abandoned(-her) the son
εἴγε μὴ πέπλασται τὰ τῆς αἰχμαλωσίας, ὡς ἔδει
if-indeed not has-been-invented the(-tale) of-the captivity as it-ought
γε καὶ τοῦτο ψεῦδος εἶναι καὶ τὰ πλεῖστα τῶν ἄλλων.
at-least also this falsehood to-be and the most of-the others
ἐπεὶ καὶ τὰ περὶ τοῦ θείου μυθολογούμενα πολλὴν ποιεῖ
since also the(-tales) about the divine told much make
διαφοράν. Ῥωμύλῳ μὲν γὰρ ἡ σωτηρία μετὰ πολλῆς
difference to-Romulus indeed for the deliverance with much
ὑπῆρξε θεῶν εὐμενείας, ὁ δ' Αἰγεῖ δοθεὶς χρησμός,
came of-gods goodwill the but to-Aegeus given oracle
ἀπέχεσθαι γυναικὸς ἐπὶ ξένης, ἔοικεν ἀποφαίνειν παρὰ
to-abstain-from woman in foreign(-land) seems to-show contrary-to
γνώμην θεῶν γεγονέναι τὴν Θησέως τέκνωσιν.
will of-gods to-have-taken-place the of-Theseus begetting

PLUTARCH

ΛΥΚΟΥΡΓΟΣ

Lycurgus

Nothing about Lycurgus is undisputed, least his date: some set him with Iphitus at the first Olympic truce. His ancestors include Soüs, who won the Arcadian land by a trick at a spring, and Eurypon, who loosened the kingship. When his brother the king dies, Lycurgus reigns until the widow is found pregnant, then rules as guardian; feigning assent to her offer to destroy the child if he marries her, he names the newborn son Charilaus king. Slandered by the queen's kin, he travels: to Crete, whence he sends the poet Thales; to Ionia, where he gathers Homer's poems; and perhaps to Egypt.

Περὶ Λυκούργου τοῦ νομοθέτου καθόλου μὲν οὐδὲν ἔστιν 1
about Lycurgus the lawgiver in-general indeed nothing is-possible
εἰπεῖν ἀναμφισβήτητον, οὗ γε καὶ γένος καὶ ἀποδημία
to-say undisputed of-whom at-least both birth and travel
καὶ τελευτὴ καὶ πρὸς ἅπασιν ἡ περὶ τοὺς νόμους
and death and in-addition-to all the about the laws
αὐτοῦ καὶ τὴν πολιτείαν πραγματεία διαφόρους ἔσχηκεν
his and the constitution activity differing has-had
ἱστορίας, ἥκιστα δὲ οἱ χρόνοι καθ' οὓς γέγονεν ὁ ἀνὴρ
accounts least and the times in which lived the man
ὁμολογοῦνται. οἱ μὲν γὰρ Ἰφίτῳ συνακμάσαι
are-agreed-upon the(-ones) indeed for with-Iphitus to-have-flourished-together
καὶ συνδιαθεῖναι τὴν Ὀλυμπιακὴν ἐκεχειρίαν λέγουσιν
and to-have-arranged-together the Olympic truce say
αὐτόν, ὧν ἔστι καὶ Ἀριστοτέλης ὁ φιλόσοφος, τεκμήριον
him of-whom is also Aristotle the philosopher evidence
προσφέρων τὸν Ὀλυμπίασι δίσκον ἐν ᾧ τοὔνομα τοῦ
offering the at-Olympia discus on which the-name —
Λυκούργου διασώζεται καταγεγραμμένον· οἱ δὲ ταῖς
of-Lycurgus is-preserved inscribed the(-others) and by-the
διαδοχαῖς τῶν ἐν Σπάρτῃ βεβασιλευκότων ἀναλεγόμενοι
successions of-those in Sparta having-reigned reckoning-up

τὸν χρόνον, ὥσπερ Ἐρατοσθένης καὶ Ἀπολλόδωρος, οὐκ
the time as Eratosthenes and Apollodorus not
ὀλίγοις ἔτεσι πρεσβύτερον ἀποφαίνουσι τῆς πρώτης
by-few years older show(-him) than-the first
Ὀλυμπιάδος. Τίμαιος δὲ ὑπονοεῖ, δυεῖν ἐν Σπάρτῃ
Olympiad Timaeus and suspects two in Sparta
γεγονότων Λυκούργων οὐ κατὰ τὸν αὐτὸν χρόνον, τῷ
having-been Lycurguses not at the same time to-the
ἑτέρῳ τὰς ἀμφοῖν πράξεις διὰ τὴν δόξαν ἀνακεῖσθαι·
one the of-both deeds because-of the fame to-be-ascribed
καὶ τόν γε πρεσβύτερον οὐ πόρρω τῶν Ὁμήρου
and the at-least older not far from-the of-Homer
γεγονέναι χρόνων, ἔνιοι δὲ καὶ κατ' ὄψιν ἐντυχεῖν Ὁμήρῳ.
to-have-lived times some and even in sight to-have-met Homer
δίδωσι δὲ καὶ Ξενοφῶν ὑπόνοιαν ἀρχαιότητος ἐν οἷς τὸν
gives and also Xenophon suspicion of-antiquity in which the
ἄνδρα λέγει γεγονέναι κατὰ τοὺς Ἡρακλείδας. γένει
man he-says to-have-lived in-the-time-of the Heraclidae by-race
μὲν γὰρ Ἡρακλεῖδαι δήπουθεν ἦσαν καὶ οἱ νεώτατοι τῶν
indeed for Heraclidae surely were also the most-recent of-the
ἐν Σπάρτῃ βασιλέων, ὁ δὲ ἔοικε βουλομένῳ τοὺς πρώτους
in Sparta kings he but seems wishing the first
ἐκείνους καὶ σύνεγγυς Ἡρακλέους ὀνομάζειν Ἡρακλείδας.
those and near Heracles to-name Heraclidae
Οὐ μὴν ἀλλὰ καίπερ οὕτως πεπλανημένης τῆς ἱστορίας,
not indeed but although so having-wandered the history
πειρασόμεθα τοῖς βραχυτάτας ἔχουσιν ἀντιλογίας ἢ
we-shall-try those briefest having contradictions or
γνωριμωτάτους μάρτυρας ἑπόμενοι τῶν γεγραμμένων
the-best-known witnesses following of-the(-things) written
περὶ τοῦ ἀνδρὸς ἀποδοῦναι τὴν διήγησιν. ἐπεὶ καὶ Σιμωνίδης
about the man to-give the narrative since also Simonides

ὁ ποιητὴς οὐκ Εὐνόμου λέγει τὸν Λυκοῦργον πατρός,
the poet not of-Eunomus says — Lycurgus (as)-father
ἀλλὰ Πρυτάνιδος καὶ τὸν Λυκοῦργον καὶ τὸν Εὔνομον,
but of-Prytanis and — Lycurgus and — Eunomus
οἱ δὲ πλεῖστοι σχεδὸν οὐχ οὕτω γενεαλογοῦσιν, ἀλλὰ
the but most nearly not so trace-the-descent but
Προκλέους μὲν τοῦ Ἀριστοδήμου γενέσθαι Σόον, Σόου δὲ
of-Procles indeed the son-of-Aristodemus to-have-been Soüs of-Soüs and
Εὐρυπῶντα, τούτου δὲ Πρύτανιν, ἐκ τούτου δὲ Εὔνομον,
Eurypon of-this(-man) and Prytanis from this(-man) and Eunomus
Εὐνόμου δὲ Πολυδέκτην ἐκ προτέρας γυναικός, Λυκοῦργον
of-Eunomus and Polydectes from a-former wife Lycurgus
δὲ νεώτερον ἐκ Διωνάσσης, ὡς Διευτυχίδας ἱστόρηκεν,
and younger from Dionassa as Dieutychidas has-recorded
ἕκτον μὲν ἀπὸ Προκλέους, ἑνδέκατον δὲ ἀφ' Ἡρακλέους.
sixth indeed from Procles eleventh and from Heracles
Τῶν δὲ προγόνων αὐτοῦ μάλιστα μὲν ἐθαυμάσθη Σόος, 2
of-the and ancestors his most indeed was-admired Soüs
ἐφ' οὗ καὶ τοὺς εἵλωτας ἐποιήσαντο δούλους οἱ
in whose(-time) also the helots made slaves the
Σπαρτιᾶται καὶ χώραν προσεκτήσαντο πολλὴν Ἀρκάδων
Spartans and land acquired-besides much from-Arcadians
ἀποτεμόμενοι. λέγεται δὲ τὸν Σόον ἐν χωρίῳ χαλεπῷ
cutting(-it)-off it-is-said and — Soüs in a-place difficult
καὶ ἀνύδρῳ πολιορκούμενον ὑπὸ Κλειτορίων, ὁμολογῆσαι
and waterless being-besieged by Cleitorians to-have-agreed
τὴν δορίκτητον γῆν αὐτοῖς ἀφήσειν, εἰ πίοι καὶ αὐτὸς
the spear-won land to-them to-give-up if should-drink both himself
καὶ οἱ μετ' αὐτοῦ πάντες ἀπὸ τῆς πλησίον πηγῆς.
and the(-men) with him all from the nearby spring
γενομένων δὲ τῶν ὁρκίων συναγαγόντα τοὺς μεθ' ἑαυτοῦ
having-been and the oaths gathering the(-men) with himself

διδόναι τῷ μὴ πιόντι τὴν βασιλείαν· οὐδενὸς δὲ
to-give to-the(-one) not drinking the kingship none and
καρτερήσαντος, ἀλλὰ πάντων πιόντων, αὐτὸν ἐπὶ πᾶσι
having-endured but all having-drunk himself after all
καταβάντα καὶ περιρρανάμενον ἔτι τῶν πολεμίων παρόντων
going-down and sprinkling(-himself) still the enemies being-present
ἀπελθεῖν καὶ τὴν χώραν κατασχεῖν, ὡς μὴ πάντων πιόντων.
to-go-away and the land to-hold as not all having-drunk
Ἀλλὰ καίπερ ἐπὶ τούτοις θαυμάζοντες αὐτὸν οὐκ ἀπὸ
but although for these admiring him not from
τούτου τὴν οἰκίαν, ἀλλὰ τοῦ παιδὸς αὐτοῦ προσηγόρευσαν
this(-man) the house but from-the son his they-named
Εὐρυπωντίδας, ὅτι δοκεῖ πρῶτος Εὐρυπῶν τὸ ἄγαν
Eurypontidae because seems first Eurypon the excessive
μοναρχικὸν ἀνεῖναι τῆς βασιλείας, δημαγωγῶν καὶ
monarchical(-element) to-relax of-the kingship courting-the-people and
χαριζόμενος τοῖς πολλοῖς. ἐκ δὲ τῆς τοιαύτης ἀνέσεως
gratifying the many from and the such relaxation
τοῦ μὲν δήμου θρασυνομένου, τῶν δ' ὕστερον βασιλέων
the indeed people growing-bold of-the and later kings
τὰ μὲν ἀπεχθανομένων τῷ βιάζεσθαι τοὺς πολλούς, τὰ
partly indeed being-hated by-the to-force the many partly
δὲ πρὸς χάριν ἢ δι' ἀσθένειαν ὑποφερομένων, ἀνομία
and toward favor or through weakness giving-way lawlessness
καὶ ἀταξία κατέσχε τὴν Σπάρτην ἐπὶ πολὺν χρόνον· ὑφ'
and disorder held — Sparta for much time by
ἧς καὶ τὸν πατέρα τοῦ Λυκούργου βασιλεύοντα συνέβη
which also the father — of-Lycurgus reigning it-happened
τελευτῆσαι. διερύκων γὰρ ἁψιμαχίαν τινά, μαγειρικῇ
to-die separating for brawl a-certain by-a-cook's

κοπίδι πληγεὶς ἀπέθανε, τῷ πρεσβυτέρῳ παιδὶ Πολυδέκτῃ
knife struck he-died to-the elder son Polydectes
καταλιπὼν τὴν βασιλείαν.
leaving the kingship
Ἀποθανόντος δὲ καὶ τούτου μετ᾽ ὀλίγον χρόνον ἔδει 3
having-died and also this(-one) after little time it-was-necessary
βασιλεύειν, ὡς πάντες ᾤοντο, τὸν Λυκοῦργον· καὶ πρίν
to-reign as all thought — Lycurgus and before
γε τὴν γυναῖκα τοῦ ἀδελφοῦ φανερὰν γενέσθαι κύουσαν
at-least the wife of-the brother evident to-become being-pregnant
ἐβασίλευεν. ἐπεὶ δὲ τοῦτο τάχιστα ᾔσθετο, τὴν μὲν
he-reigned when and this most-quickly he-perceived the indeed
βασιλείαν ἀπέφηνε τοῦ παιδὸς οὖσαν, ἄνπερ ἄρρην γένηται,
kingship he-declared of-the child being if-indeed male it-be-born
τὴν δὲ ἀρχὴν αὐτὸς ὡς ἐπίτροπος διεῖπε. τοὺς δὲ τῶν
the but rule himself as guardian administered the and of-the
ὀρφανῶν βασιλέων ἐπιτρόπους Λακεδαιμόνιοι προδίκους
orphaned kings guardians Lacedaemonians prodikoi
ὠνόμαζον. ὡς δὲ ἡ γυνὴ προσέπεμπε κρύφα καὶ λόγους
named when and the woman sent-messages secretly and proposals
ἐποιεῖτο, βουλομένη διαφθεῖραι τὸ βρέφος ἐπὶ τῷ
made wishing to-destroy the babe on-condition-of the
συνοικεῖν ἐκείνῳ βασιλεύοντι τῆς Σπάρτης, τὸ μὲν ἦθος
to-marry him reigning — of-Sparta the indeed character
αὐτῆς ἐμίσησε, πρὸς δὲ τὸν λόγον αὐτὸν οὐκ ἀντεῖπεν,
her he-hated toward but the proposal itself not he-spoke-against
ἀλλ᾽ ἐπαινεῖν καὶ δέχεσθαι προσποιούμενος, οὐκ ἔφη δεῖν
but to-praise and to-accept pretending not he-said it-needful
ἀμβλίσκουσαν αὐτὴν καὶ φαρμακευομένην διαλυμαίνεσθαι τὸ
miscarrying her and taking-drugs to-ruin the
σῶμα καὶ κινδυνεύειν· αὐτῷ γὰρ μελήσειν ὅπως εὐθὺς
body and to-run-risk to-him for it-would-be-a-care so-that at-once

ἐκποδὼν ἔσται τὸ γεννηθέν. οὕτω δὲ παραγαγὼν
out-of-the-way will-be the(-thing) born so and leading(-her)-on
ἄχρι τοῦ τόκου τὴν ἄνθρωπον, ὡς ᾔσθετο τίκτουσαν,
until the birth the woman when he-perceived(-her) giving-birth
εἰσέπεμψε παρέδρους ταῖς ὠδῖσιν αὐτῆς καὶ φύλακας, οἷς
he-sent-in attendants to-the labors her and guards to-whom
ἦν προστεταγμένον, ἐὰν μὲν θῆλυ τεχθῇ, παραδοῦναι
it-was commanded if indeed female be-born to-hand(-it)-over
ταῖς γυναιξίν, ἐὰν δὲ ἄρρεν, κομίσαι πρὸς ἑαυτὸν ὅ
to-the women if and male to-bring(-it) to himself what
τι ἂν τύχῃ πράττων. ἔτυχε δὲ δειπνοῦντος αὐτοῦ
ever — he-happen doing it-happened and dining him
μετὰ τῶν ἀρχόντων ἀποκυηθὲν ἄρρεν· καὶ παρῆσαν οἱ
with the magistrates born male and were-present the
ὑπηρέται τὸ παιδάριον αὐτῷ κομίζοντες. ὁ δὲ δεξάμενος,
servants the little-boy to-him bringing he and receiving(-it)
ὡς λέγεται, καὶ πρὸς τοὺς παρόντας εἰπών, "Βασιλεὺς
as it-is-said also to the(-men) present saying a-king
ὑμῖν γέγονεν, ὦ Σπαρτιᾶται," κατέκλινεν ἐν τῇ βασιλικῇ
to-you has-been-born O Spartans laid(-him) in the royal
χώρᾳ καὶ Χαρίλαον ὠνόμασε διὰ τὸ τοὺς πάντας
place and Charilaus named(-him) because-of the the all
εἶναι περιχαρεῖς, ἀγαμένους αὐτοῦ τὸ φρόνημα καὶ τὴν
to-be overjoyed admiring his the spirit and the
δικαιοσύνην. ἐβασίλευσε δὲ μῆνας ὀκτὼ τὸ σύμπαν. ἦν δὲ
justice he-reigned and months eight the whole was and
καὶ τἆλλα περίβλεπτος ὑπὸ τῶν πολιτῶν, καὶ πλείονες
also in-the-rest admired by the citizens and more
ἐγένοντο τῶν ὡς ἐπιτρόπῳ βασιλέως καὶ βασιλικὴν
were than-the(-ones) as to-a-guardian of-a-king and royal

ἐξουσίαν ἔχοντι πειθομένων οἱ δι᾽ ἀρετὴν προσέχοντες
power having obeying(-him) those through virtue attending
αὐτῷ καὶ ποιεῖν ἐθέλοντες ἑτοίμως τὸ προσταττόμενον.
to-him and to-do willing readily the(-thing) commanded
Ἦν δέ τι καὶ τὸ φθονοῦν καὶ πρὸς τὴν αὔξησιν ὄντι
there-was and some(-thing) also the envying and toward the growth being
νέῳ πειρώμενον ἐνίστασθαι, μάλιστα μὲν οἱ συγγενεῖς καὶ
young trying to-oppose most indeed the kinsmen and
οἰκεῖοι τῆς τοῦ βασιλέως μητρὸς ὑβρίσθαι δοκούσης,
intimates of-the the of-king mother to-have-been-insulted seeming
ὁ δὲ ἀδελφὸς αὐτῆς Λεωνίδας καὶ θρασύτερόν ποτε τῷ
the and brother her Leonidas also rather-boldly once —
Λυκούργῳ λοιδορηθείς, ὑπεῖπεν ὡς εἰδείη σαφῶς μέλλοντα
at-Lycurgus having-railed hinted that he-knew clearly being-about
βασιλεύειν αὐτόν, ὑπόνοιαν διδοὺς καὶ προκαταλαμβάνων
to-reign him suspicion giving and forestalling
διαβολῇ τὸν Λυκοῦργον, εἴ τι συμβαίη τῷ βασιλεῖ
by-slander — Lycurgus if anything should-happen to-the king
παθεῖν, ὡς ἐπιβεβουλευκότα. τοιοῦτοι δέ τινες λόγοι καὶ
to-suffer as having-plotted such and some words also
παρὰ τῆς γυναικὸς ἐξεφοίτων· ἐφ᾽ οἷς βαρέως φέρων
from the woman went-abroad at which heavily bearing(-it)
καὶ δεδοικὼς τὸ ἄδηλον, ἔγνω φυγεῖν ἀποδημίᾳ τὴν
and fearing the uncertain he-resolved to-flee by-travel the
ὑπόνοιαν, καὶ πλανηθῆναι μέχρις ἂν ὁ ἀδελφιδοῦς ἐν
suspicion and to-wander until — the nephew in
ἡλικίᾳ γενόμενος τεκνώσῃ διάδοχον τῆς βασιλείας.
age having-come should-beget a-successor of-the kingship
Οὕτως ἀπάρας πρῶτον μὲν εἰς Κρήτην ἀφίκετο· καὶ τὰς 4
so setting-sail first indeed to Crete he-came and the
αὐτόθι πολιτείας κατανοήσας καὶ συγγενόμενος τοῖς
there constitutions having-studied and having-associated-with the(-men)

πρωτεύουσι κατὰ δόξαν ἀνδράσι, τὰ μὲν ἐζήλωσε
foremost in reputation men some(-things) indeed he-admired
καὶ παρέλαβε τῶν νόμων, ὡς οἴκαδε μετοίσων καὶ
and took-over of-the laws as home to-carry(-them) and
χρησόμενος, ἔστι δ' ὧν κατεφρόνησεν. ἕνα δὲ
to-use(-them) there-are and (some)-of-which he-despised one and
τῶν νομιζομένων ἐκεῖ σοφῶν καὶ πολιτικῶν χάριτι καὶ
of-the(-men) reputed there wise and statesmanlike by-favor and
φιλίᾳ πείσας ἀπέστειλεν εἰς τὴν Σπάρτην, Θάλητα,
friendship having-persuaded he-sent to — Sparta Thales
ποιητὴν μὲν δοκοῦντα λυρικῶν μελῶν καὶ πρόσχημα τὴν
a-poet indeed seeming of-lyric songs and pretext the
τέχνην ταύτην πεποιημένον, ἔργῳ δὲ ἅπερ οἱ κράτιστοι
art this having-made in-deed and what the best
τῶν νομοθετῶν διαπραττόμενον. λόγοι γὰρ ἦσαν αἱ
of-the lawgivers accomplishing words for were the
ᾠδαὶ πρὸς εὐπείθειαν καὶ ὁμόνοιαν ἀνακλητικοί, διὰ
songs to obedience and concord summoning through
μελῶν ἅμα καὶ ῥυθμῶν πολὺ τὸ κόσμιον ἐχόντων καὶ
tunes at-once and rhythms much the orderly having and
καταστατικόν, ὧν ἀκροώμενοι κατεπραΰνοντο λεληθότως
calming to-which listening were-softened imperceptibly
τὰ ἤθη καὶ συνῳκειοῦντο τῷ ζήλῳ τῶν καλῶν ἐκ
the characters and were-reconciled to-the emulation of-the noble(-things) from
τῆς ἐπιχωριαζούσης τότε πρὸς ἀλλήλους κακοθυμίας, ὥστε
the prevailing then toward one-another ill-will so-that
τρόπον τινὰ τῷ Λυκούργῳ προοδοποιεῖν τὴν παίδευσιν
in-a-way some — for-Lycurgus to-prepare-the-road-for the training
αὐτῶν ἐκεῖνον.
of-them that(-man)

Ἀπὸ δὲ τῆς Κρήτης ὁ Λυκοῦργος ἐπὶ Ἀσίαν ἔπλευσε,
from and — Crete — Lycurgus to Asia sailed
βουλόμενος, ὡς λέγεται, ταῖς Κρητικαῖς διαίταις, εὐτελέσιν
wishing as it-is-said to-the Cretan ways-of-life simple
οὔσαις καὶ αὐστηραῖς, τὰς Ἰωνικὰς πολυτελείας καὶ
being and austere the Ionian extravagances and
τρυφάς, ὥσπερ ἰατρὸς σώμασιν ὑγιεινοῖς ὕπουλα καὶ
luxuries like a-physician to-bodies healthy festering and
νοσώδη, παραβαλὼν ἀποθεωρῆσαι τὴν διαφορὰν τῶν βίων
diseased comparing to-observe the difference of-the lives
καὶ τῶν πολιτειῶν. ἐκεῖ δὲ καὶ τοῖς Ὁμήρου ποιήμασιν
and of-the constitutions there and also the of-Homer poems
ἐντυχὼν πρῶτον, ὡς ἔοικε, παρὰ τοῖς ἐκγόνοις τοῖς
having-met first as it-seems among the descendants the
Κρεοφύλου διατηρουμένοις, καὶ κατιδὼν ἐν αὐτοῖς τῆς
of-Creophylus preserved and having-observed in them of-the
πρὸς ἡδονὴν καὶ ἀκρασίαν διατριβῆς τὸ πολιτικὸν καὶ
toward pleasure and license diversion the political and
παιδευτικὸν οὐκ ἐλάττονος ἄξιον σπουδῆς ἀναμεμιγμένον,
educational not of-lesser worthy seriousness mixed-in
ἐγράψατο προθύμως καὶ συνήγαγεν ὡς δεῦρο κομιῶν.
he-wrote(-them)-down eagerly and collected(-them) as here to-bring(-them)
ἦν γάρ τις ἤδη δόξα τῶν ἐπῶν ἀμαυρὰ παρὰ τοῖς
there-was for some already fame of-the epics faint among the
Ἕλλησιν, ἐκέκτητο δὲ οὐ πολλοὶ μέρη τινά, σποράδην
Greeks possessed and not many parts some scattered
τῆς ποιήσεως, ὡς ἔτυχε, διαφερομένης· γνωρίμην δὲ
of-the poetry as it-happened being-carried-about known and
αὐτὴν καὶ μάλιστα πρῶτος ἐποίησε Λυκοῦργος.
it and most first made Lycurgus

Αἰγύπτιοι δὲ καὶ πρὸς αὑτοὺς ἀφικέσθαι τὸν Λυκοῦργον
Egyptians and also to themselves to-have-come — Lycurgus
οἴονται, καὶ τὴν ἀπὸ τῶν ἄλλων γενῶν τοῦ μαχίμου
think and the from the other classes of-the fighting(-class)
διάκρισιν μάλιστα θαυμάσαντα μετενεγκεῖν εἰς τὴν
separation most having-admired to-have-transferred to —
Σπάρτην, καὶ χωρίσαντα τοὺς βαναύσους καὶ χειροτέχνας
Sparta and having-separated the mechanics and handicraftsmen
ἀστεῖον ὡς ἀληθῶς τὸ πολίτευμα καὶ καθαρὸν ἀποδεῖξαι.
refined as truly the polity and pure to-have-made
ταῦτα μὲν οὖν Αἰγυπτίοις ἔνιοι καὶ τῶν Ἑλληνικῶν
these-things indeed then to-Egyptians some even of-the Greek
συγγραφέων μαρτυροῦσιν· ὅτι δὲ καὶ Λιβύην καὶ Ἰβηρίαν
historians bear-witness that and also Libya and Iberia
ἐπῆλθεν ὁ Λυκοῦργος καὶ περὶ τὴν Ἰνδικὴν πλανηθεὶς
visited — Lycurgus and about — India having-wandered
τοῖς Γυμνοσοφισταῖς ὡμίλησεν, οὐδένα πλὴν Ἀριστοκράτη
with-the Gymnosophists conversed no-one except Aristocrates
τὸν Ἱππάρχου Σπαρτιάτην εἰρηκότα γινώσκομεν.
the son-of-Hipparchus a-Spartan having-said we-know

The Spartans call Lycurgus home. Consulting Delphi, he is greeted as more god than man and promised the best constitution. With thirty armed nobles he takes the agora, and the frightened Charilaus joins him. He founds the council of twenty-eight elders as a ballast between kings and people, brings the oracle called the rhetra, and fixes the assemblies between Babyca and Cnacion; the later kings Polydorus and Theopompus add a rider letting kings and elders set aside the people's crooked choices, which Tyrtaeus' verses recall. The ephors come later. He then redivides the land into equal lots.

Οἱ δὲ Λακεδαιμόνιοι τὸν Λυκοῦργον ἐπόθουν ἀπόντα καὶ
the and Lacedaemonians — Lycurgus longed-for being-absent and
μετεπέμποντο πολλάκις, ὡς τοὺς μὲν βασιλεῖς ὄνομα καὶ
sent-for(-him) often since the indeed kings name and
τιμήν, ἄλλο δὲ μηδὲν διαφέρον τῶν πολλῶν ἔχοντας, ἐν
honor other and nothing differing from-the many having in
ἐκείνῳ δὲ φύσιν ἡγεμονικὴν καὶ δύναμιν ἀνθρώπων ἀγωγὸν
that(-man) and a-nature fit-to-lead and power of-men leading
οὖσαν. οὐ μὴν οὐδὲ τοῖς βασιλεῦσιν ἦν ἀβούλητος ἡ
being not indeed not-even to-the kings was unwelcome the
παρουσία τοῦ ἀνδρός, ἀλλ' ἤλπιζον ἐκείνου συμπαρόντος
presence of-the man but they-hoped him being-present-with(-them)
ἧττον ὑβρίζουσι χρῆσθαι τοῖς πολλοῖς. ἐπανελθὼν οὖν πρὸς
less being-insolent to-treat the many having-returned then to
οὕτω διακειμένους εὐθὺς ἐπεχείρει τὰ παρόντα κινεῖν καὶ
so disposed(-men) at-once he-undertook the present(-things) to-move and
μεθιστάναι τὴν πολιτείαν, ὡς τῶν κατὰ μέρος νόμων οὐδὲν
to-change the constitution as of-the by part laws no
ἔργον οὐδὲ ὄφελος, εἰ μή τις ὥσπερ σώματι πονηρῷ
work nor benefit if not anyone as-if in-a-body bad
καὶ γέμοντι παντοδαπῶν νοσημάτων τὴν ὑπάρχουσαν
and full of-all-kinds diseases the existing

ἐκτήξας καὶ μεταβαλὼν κρᾶσιν ὑπὸ φαρμάκων
having-melted-away and having-changed temperament by drugs
καὶ καθαρμῶν ἑτέρας ἄρξεται καινῆς διαίτης. διανοηθεὶς
and purgations another will-begin new regimen having-thought
δὲ ταῦτα πρῶτον μὲν ἀπεδήμησεν εἰς Δελφούς· καὶ
and these-things first indeed he-traveled to Delphi and
τῷ θεῷ θύσας καὶ χρησάμενος ἐπανῆλθε τὸν
to-the god having-sacrificed and having-consulted(-the-oracle) he-returned the
διαβόητον ἐκεῖνον χρησμὸν κομίζων, ᾧ θεοφιλῆ μὲν
famous that oracle bringing in-which god-beloved indeed
αὐτὸν ἡ Πυθία προσεῖπε καὶ θεὸν μᾶλλον ἢ ἄνθρωπον,
him — Pythia addressed and god rather than man
εὐνομίας δὲ χρῄζοντι διδόναι καὶ καταινεῖν ἔφη τὸν
good-order and to-him-needing to-grant and to-assent she-said the
θεὸν ἢ πολὺ κρατίστη τῶν ἄλλων ἔσται πολιτειῶν.
god which far best of-the other will-be constitutions
Ἐπαρθεὶς δὲ τούτοις προσήγετο τοὺς ἀρίστους καὶ
having-been-elated and by-these he-brought-over the best(-men) and
συνεφάπτεσθαι παρεκάλει, κρύφα διαλεγόμενος τοῖς φίλοις
to-take-hold-together he-urged secretly conversing-with the friends
πρῶτον, εἶτα οὕτως κατὰ μικρὸν ἁπτόμενος πλειόνων καὶ
first then so by little touching more and
συνιστὰς ἐπὶ τὴν πρᾶξιν. ὡς δ' ὁ καιρὸς ἦκε, τριάκοντα
uniting(-them) for the deed when and the moment came thirty
τοὺς πρώτους ἐκέλευσε μετὰ τῶν ὅπλων ἕωθεν εἰς
the first(-men) he-ordered with the arms at-dawn into
ἀγορὰν προελθεῖν ἐκπλήξεως ἕνεκα καὶ φόβου πρὸς
the-market-place to-come-forward of-consternation for-the-sake-of and fear toward
τοὺς ἀντιπράττοντας. ὧν εἴκοσι τοὺς ἐπιφανεστάτους
the(-men) opposing of-whom twenty the most-notable
Ἕρμιππος ἀνέγραψε· τὸν δὲ μάλιστα τῶν Λυκούργου
Hermippus recorded the(-one) and most in-the of-Lycurgus

ἔργων κοινωνήσαντα πάντων καὶ συμπραγματευσάμενον
works having-shared all and having-cooperated-in
τὰ περὶ τοὺς νόμους Ἀρθμιάδαν ὀνομάζουσιν. ἀρχομένης
the(-things) about the laws Arthmiadas they-name beginning
δὲ τῆς ταραχῆς ὁ βασιλεὺς Χαρίλαος φοβηθεὶς ὡς
and of-the confusion the king Charilaus having-been-afraid as
ἐπ᾽ αὐτὸν ὅλης τῆς πράξεως συνισταμένης, κατέφυγε
against him whole of-the action being-organized fled
πρὸς τὴν Χαλκίοικον· εἶτα πεισθεὶς καὶ λαβὼν
to the Brazen-House then having-been-persuaded and taking
ὅρκους ἀνέστη καὶ μετεῖχε τῶν πραττομένων, φύσει
oaths he-rose-up and took-part-in the(-things) being-done by-nature
πρᾷος ὤν· ὥς που καὶ λέγεται συμβασιλεύοντα τὸν
gentle being as somewhere also it-is-said reigning-jointly —
Ἀρχέλαον αὐτῷ πρὸς τοὺς ἐγκωμιάζοντας τὸν νεανίσκον
Archelaus with-him to the(-men) praising the young-man
εἰπεῖν· “Πῶς δ᾽ ἂν εἴη Χαρίλαος ἀνὴρ ἀγαθός, ὃς
to-have-said how and — would-be Charilaus a-man good who
οὐδὲ τοῖς πονηροῖς χαλεπός ἐστι;”
not-even to-the wicked harsh is
Πλειόνων δὲ καινοτομουμένων ὑπὸ τοῦ Λυκούργου πρῶτον
many and being-innovated by — Lycurgus first
ἦν καὶ μέγιστον ἡ κατάστασις τῶν γερόντων, ἥν φησιν ὁ
was and greatest the institution of-the elders which says —
Πλάτων τῇ τῶν βασιλέων ἀρχῇ φλεγμαινούσῃ μιχθεῖσαν
Plato to-the of-the kings rule inflamed mixed
καὶ γενομένην ἰσόψηφον εἰς τὰ μέγιστα σωτηρίαν ἅμα
and having-become of-equal-vote in the greatest(-matters) safety at-once
καὶ σωφροσύνην παρασχεῖν. αἰωρουμένη γὰρ ἡ πολιτεία καὶ
and moderation to-have-provided swaying for the constitution and
ἀποκλίνουσα νῦν μὲν ὡς τοὺς βασιλεῖς ἐπὶ τυραννίδα, νῦν
inclining now indeed toward the kings to tyranny now

δὲ ὡς τὸ πλῆθος ἐπὶ δημοκρατίαν, οἷον ἔρμα τὴν τῶν
and toward the multitude to democracy as-it-were ballast the of-the
γερόντων ἀρχὴν ἐν μέσῳ θεμένη καὶ ἰσορροπήσασα τὴν
elders rule in middle having-placed and having-balanced the
ἀσφαλεστάτην τάξιν ἔσχε καὶ κατάστασιν, ἀεὶ τῶν ὀκτὼ
safest order had and condition always the eight
καὶ εἴκοσι γερόντων τοῖς μὲν βασιλεῦσι προστιθεμένων
and twenty elders with-the indeed kings siding
ὅσον ἀντιβῆναι πρὸς δημοκρατίαν, αὖθις δὲ ὑπὲρ τοῦ
as-much-as to-resist against democracy again and on-behalf-of the
μὴ γενέσθαι τυραννίδα τὸν δῆμον ἀναρρωννύντων. τοσούτους
not to-arise tyranny the people strengthening so-many
δέ φησι κατασταθῆναι τοὺς γέροντας Ἀριστοτέλης, ὅτι
and says to-have-been-appointed the elders Aristotle because
τριάκοντα τῶν πρώτων μετὰ Λυκούργου γενομένων δύο
thirty of-the first(-men) with Lycurgus having-been two
τὴν πρᾶξιν ἐγκατέλιπον ἀποδειλιάσαντες. ὁ δὲ Σφαῖρος
the deed abandoned having-lost-heart — but Sphaerus
ἐξ ἀρχῆς φησι τοσούτους γενέσθαι τοὺς τῆς γνώμης
from beginning says so-many to-have-been the(-men) of-the plan
μετασχόντας. εἴη δ' ἄν τι καὶ τὸ τοῦ ἀριθμοῦ
having-shared might-be and — something also the of-the number
δι' ἑβδομάδος τετράδι πολλαπλασιασθείσης ἀποτελούμενον,
by seven by-four multiplied being-completed
καὶ ὅτι τοῖς αὑτοῦ μέρεσιν ἴσος ὢν μετὰ τὴν ἑξάδα
and because to-the its-own parts equal being after the six
τέλειός ἐστιν. ἐμοὶ δὲ δοκεῖ μάλιστα τοσούτους ἀποδεῖξαι
perfect it-is to-me but it-seems most so-many to-have-appointed
τοὺς γέροντας ὅπως οἱ πάντες εἶεν τριάκοντα, τοῖς
the elders so-that the all might-be thirty to-the
ὀκτὼ καὶ εἴκοσι τοῖν δυοῖν βασιλέοιν προστιθεμένοιν.
eight and twenty the two kings being-added

Οὕτω δὲ περὶ ταύτην ἐσπούδασε τὴν ἀρχὴν ὁ Λυκοῦργος 6
so and about this was-zealous the office — Lycurgus
ὥστε μαντείαν ἐκ Δελφῶν κομίσαι περὶ αὐτῆς, ἣν
so-that an-oracle from Delphi to-bring about it which
ῥήτραν καλοῦσιν. ἔχει δὲ οὕτως· "Διὸς Συλλανίου καὶ
rhetra they-call it-runs and thus of-Zeus Syllanius and
Ἀθανᾶς Συλλανίας ἱερὸν ἱδρυσάμενον, φυλὰς φυλάξαντα
of-Athena Syllania a-temple having-founded tribes having-tribed
καὶ ὠβὰς ὠβάξαντα, τριάκοντα γερουσίαν σὺν ἀρχαγέταις
and obes having-obed thirty a-senate with leaders
καταστήσαντα, ὥρας ἐξ ὥρας ἀπελλάζειν μεταξὺ Βαβύκας
having-established season from season to-hold-assembly between Babyca
τε καὶ Κνακιῶνος, οὕτως εἰσφέρειν τε καὶ ἀφίστασθαι·
both and Cnacion so to-introduce both and to-withdraw
δάμῳ δὲ τὰν κυρίαν ἦμεν καὶ κράτος." ἐν τούτοις
to-the-people and the deciding(-voice) to-be and power in these(-words)
τὸ μὲν φυλὰς φυλάξαι καὶ ὠβὰς ὠβάξαι διελεῖν ἐστι καὶ
the indeed tribes to-tribe and obes to-obe to-divide is and
κατανεῖμαι τὸ πλῆθος εἰς μερίδας, ὧν τὰς μὲν φυλάς,
to-distribute the multitude into portions of-which the(-ones) indeed tribes
τὰς δὲ ὠβὰς προσηγόρευκεν. ἀρχαγέται δὲ οἱ βασιλεῖς
the(-others) and obes he-has-called leaders and the kings
λέγονται, τὸ δὲ ἀπελλάζειν ἐκκλησιάζειν· ὅτι τὴν ἀρχὴν
are-called the and to-hold-assembly to-assemble because the beginning
καὶ τὴν αἰτίαν τῆς πολιτείας εἰς τὸν Πύθιον ἀνῆψε. τὴν
and the cause of-the constitution to the Pythian(-god) he-attached —
δὲ Βαβύκαν Χείμαρρος, καὶ τὸν Κνακιῶνα νῦν Οἰνοῦντα
and Babyca Cheimarrus and — Cnacion now Oenus
προσαγορεύουσιν· Ἀριστοτέλης δὲ τὸν μὲν Κνακιῶνα
they-call Aristotle and — indeed Cnacion
ποταμόν, τὴν δὲ Βαβύκαν γέφυραν. ἐν μέσῳ δὲ τούτων τὰς
a-river — and Babyca a-bridge in middle and of-these the

ἐκκλησίας ἦγον, οὔτε παστάδων οὐσῶν οὔτε ἄλλης τινὸς
assemblies they-held neither porticoes being nor other any
κατασκευῆς. οὐθὲν γὰρ ᾤετο ταῦτα πρὸς εὐβουλίαν εἶναι,
structure nothing for he-thought these-things toward good-counsel to-be
μᾶλλον δὲ βλάπτειν, φλυαρώδεις ἀπεργαζόμενα καὶ χαύνους
rather but to-harm silly making and vain
φρονήματι κενῷ τὰς διανοίας τῶν συμπορευομένων,
with-a-spirit empty the thoughts of-those coming-together
ὅταν εἰς ἀγάλματα καὶ γραφὰς ἢ προσκήνια θεάτρων ἢ
whenever on statues and paintings or stage-fronts of-theaters or
στέγας βουλευτηρίων ἠσκημένας περιττῶς ἐκκλησιάζοντες
roofs of-council-halls adorned extravagantly assembling
ἀποβλέπωσι. τοῦ δὲ πλήθους ἀθροισθέντος εἰπεῖν μὲν
they-gaze the and multitude having-been-gathered to-speak indeed
οὐδενὶ γνώμην τῶν ἄλλων ἐφεῖτο, τὴν δ' ὑπὸ τῶν
to-no-one opinion of-the others it-was-permitted the(-opinion) but by the
γερόντων καὶ τῶν βασιλέων προτεθεῖσαν ἐπικρῖναι κύριος
elders and the kings proposed to-decide sovereign
ἦν ὁ δῆμος. ὕστερον μέντοι τῶν πολλῶν ἀφαιρέσει καὶ
was the people later however the many by-taking-away and
προσθέσει τὰς γνώμας διαστρεφόντων καὶ παραβιαζομένων,
by-adding the opinions distorting and forcing
Πολύδωρος καὶ Θεόπομπος οἱ βασιλεῖς τάδε τῇ ῥήτρᾳ
Polydorus and Theopompus the kings these(-words) to-the rhetra
παρενέγραψαν· "Αἰ δὲ σκολιὰν ὁ δᾶμος ἕλοιτο, τοὺς
inserted if but crooked(-opinion) the people should-choose the
πρεσβυγενέας καὶ ἀρχαγέτας ἀποστατῆρας ἦμεν," τοῦτ'
elders and leaders dismissers to-be this
ἔστι μὴ κυροῦν, ἀλλ' ὅλως ἀφίστασθαι καὶ διαλύειν
is not to-ratify but altogether to-withdraw and to-dissolve
τὸν δῆμον, ὡς ἐκτρέποντα καὶ μεταποιοῦντα τὴν γνώμην
the people as perverting and altering the opinion

παρὰ τὸ βέλτιστον. ἔπεισαν δὲ καὶ αὐτοὶ τὴν πόλιν
contrary-to the best they-persuaded and also themselves the city
ὡς τοῦ θεοῦ ταῦτα προστάσσοντος, ὥς που Τυρταῖος
as the god these-things commanding as somewhere Tyrtaeus
ἐπιμέμνηται διὰ τούτων·
mentions through these(-lines)

Φοίβου ἀκούσαντες Πυθωνόθεν οἴκαδ' ἔνεικαν
Of-Phoebus having-heard from-Pytho home they-brought
μαντείας τε θεοῦ καὶ τελέεντ' ἔπεα·
oracles both of-the-god and fulfilled words
ἄρχειν μὲν βουλῆς θεοτιμήτους βασιλῆας,
to-rule indeed of-council god-honored kings
οἷσι μέλει Σπάρτας ἱμερόεσσα πόλις,
to-whom is-dear of-Sparta lovely city
πρεσβύτας τε γέροντας, ἔπειτα δὲ δημότας ἄνδρας,
aged both elders then and men-of-the-people men
εὐθείαις ῥήτραις ἀνταπαμειβομένους.
with-straight rhetras answering-in-turn

Οὕτω τὸ πολίτευμα τοῦ Λυκούργου μίξαντος, ὅμως 7
so the polity — Lycurgus having-mixed nevertheless
ἄκρατον ἔτι τὴν ὀλιγαρχίαν καὶ ἰσχυρὰν οἱ μετ'
unmixed still the oligarchy and strong the(-men) after
αὐτὸν ὁρῶντες σπαργῶσαν καὶ θυμουμένην, ὥς φησιν ὁ
him seeing swelling and raging as says —
Πλάτων, οἷον ψάλιον ἐμβάλλουσιν αὐτῇ τὴν τῶν ἐφόρων
Plato as-it-were a-curb they-cast-on it the of-the ephors
δύναμιν, ἔτεσί που μάλιστα τριάκοντα καὶ ἑκατὸν
power in-years somewhere about thirty and a-hundred
μετὰ Λυκοῦργον πρώτων τῶν περὶ Ἔλατον ἐφόρων
after Lycurgus first the about Elatus ephors

καταστaθέντων ἐπὶ Θεοπόμπου βασιλεύοντος· ὃν καί
having-been-appointed in-the-time-of Theopompus reigning whom also
φασιν ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς ὀνειδιζόμενον ὡς ἐλάττω
they-say by the his-own wife being-reproached as less
παραδώσοντα τοῖς παισὶ τὴν βασιλείαν ἢ παρέλαβε,
going-to-hand-over to-the children the kingship than he-received
"Μείζω μὲν οὖν," εἰπεῖν, "ὅσῳ χρονιωτέραν." τῷ
greater indeed then to-have-said by-as-much-as more-lasting in-the
γὰρ ὄντι τὸ ἄγαν ἀποβαλοῦσα μετὰ τοῦ φθόνου διέφυγε
for reality the excess having-cast-off with the envy it-escaped
τὸν κίνδυνον, ὥστε μὴ παθεῖν ἃ Μεσσήνιοι καὶ Ἀργεῖοι
the danger so-that not to-suffer what Messenians and Argives
τοὺς παρ' αὐτοῖς βασιλεῖς ἔδρασαν, μηδὲν ἐνδοῦναι μηδὲ
the among them kings did nothing to-yield nor
χαλάσαι τῆς ἐξουσίας ἐπὶ τὸ δημοτικὸν ἐθελήσαντας. ὃ
to-relax of-the authority to the popular(-side) having-been-willing which
καὶ μάλιστα τὴν Λυκούργου σοφίαν καὶ πρόνοιαν ἐποίησε
also most the of-Lycurgus wisdom and foresight made
φανερὰν εἰς τὰς Μεσσηνίων καὶ Ἀργείων, συγγενῶν καὶ
evident to the of-Messenians and of-Argives kinsmen and
γειτόνων, δήμων καὶ βασιλέων στάσεις καὶ κακοπολιτείας
neighbors of-peoples and of-kings factions and misgovernments
ἀφορῶσιν, οἳ τῶν ἴσων ἀπ' ἀρχῆς τετυχηκότες, ἐν
to-(those)-looking who the equal(-things) from beginning having-obtained in
δὲ τῷ κλήρῳ καὶ πλέον ἔχειν ἐκείνων δόξαντες, οὐκ
and the allotment even more to-have than-those having-seemed not
ἐπὶ πολὺν χρόνον εὐδαιμόνησαν, ἀλλ' ὕβρει μὲν τῶν
for much time prospered but by-insolence indeed of-the
βασιλέων, οὐκ εὐπειθείᾳ δὲ τῶν ὄχλων, τὰ καθεστῶτα
kings not by-obedience and of-the mobs the established(-order)
to-them is supper so-that through themselves warding-off the
ἔνδειαν ἀναγκάζωνται τολμᾶν καὶ πανουργεῖν.
want they-be-compelled to-dare and to-be-cunning

Καὶ τοῦτο μὲν ἔργον τῆς ὀλιγοσιτίας· παρέργον δέ φασι
and this indeed the-work of-the scanty-food a-by-work and they-say
τὴν τῶν σωμάτων αὔξησιν. φέρεται γὰρ εἰς μῆκος, ὅταν
the of-the bodies growth it-is-carried for into length whenever
τὸ πνεῦμα μὴ πολλὴν σχῇ διατριβὴν καὶ ἀσχολίαν
the breath not much should-have hindrance and occupation
ὑπὸ πλήθους τροφῆς εἰς βάθος καὶ πλάτος πιεζόμενον,
by quantity of-food into depth and breadth being-pressed
ἀλλ᾽ ἄνω βαδίζῃ διὰ κουφότητα, τοῦ σώματος ἐκλύτως
but upward go through lightness of-the body freely
καὶ ῥᾳδίως ἐπιδιδόντος. τὸ δ᾽ αὐτὸ τοῦτο καὶ καλοὺς
and easily growing the and same this also handsome
δοκεῖ ποιεῖν· αἱ γὰρ ἰσχναὶ καὶ διάκενοι μᾶλλον ἕξεις
seems to-make the for lean and spare more constitutions
ὑπακούουσι πρὸς τὴν διάρθρωσιν, αἱ δὲ ὀγκώδεις καὶ
yield to the articulation the but bulky and
πολύτροφοι διὰ βάρος ἀντιβαίνουσιν, ὥσπερ ἀμέλει καὶ
much-fed through weight resist as no-doubt also
τῶν ἐν τῷ κύειν καθαιρομένων γυναικῶν ἰσχνὰ μέν,
of-the in the to-be-pregnant purged women lean indeed
εὐειδῆ δὲ καὶ γλαφυρὰ γίνεται τὰ βρέφη, διὰ τὴν
well-formed but and neat become the babes because-of the
ἐλαφρότητα τῆς ὕλης κρατουμένης μᾶλλον ὑπὸ τοῦ
lightness of-the matter being-mastered more by the(-power)
τυποῦντος. ἀλλὰ γὰρ ἡ μὲν αἰτία τοῦ συμβαίνοντος
molding but for the indeed cause of-the(-thing) happening
ἐν μέσῳ προκείσθω σκοπεῖν.
in middle let-it-be-set-forth to-consider

Οὕτω δὲ κλέπτουσι πεφροντισμένως οἱ παῖδες, ὥστε λέγεται 18
so and steal carefully the boys so-that is-said
τις ἤδη σκύμνον ἀλώπεκος κεκλοφὼς καὶ τῷ τριβωνίῳ
one already a-cub of-a-fox having-stolen and in-the cloak

περιστέλλων, σπαρασσόμενος ὑπὸ τοῦ θηρίου τὴν γαστέρα
wrapping(-it) being-torn by the beast the belly
τοῖς ὄνυξι καὶ τοῖς ὀδοῦσιν, ὑπὲρ τοῦ λαθεῖν
with-the claws and with-the teeth for-the-sake-of the to-escape-notice
ἐγκαρτερῶν ἀποθανεῖν. καὶ τοῦτο μὲν οὐδὲ ἀπὸ τῶν
holding-out to-have-died and this indeed not-even from the
νῦν ἐφήβων ἄπιστόν ἐστιν, ὧν πολλοὺς ἐπὶ τοῦ βωμοῦ
now ephebes incredible is of-whom many at the altar
τῆς Ὀρθίας ἑωράκαμεν ἐναποθνήσκοντας ταῖς πληγαῖς.
— of-Orthia we-have-seen dying-under by-the blows
Δειπνήσας δὲ ὁ εἴρην κατακείμενος τῷ μὲν ᾄσαι
having-dined and the eiren reclining to-the(-one) indeed to-sing
προσέταξε τῶν παίδων, τῷ δὲ ἐρώτημά τι προὔβαλε
ordered of-the boys to-the(-other) and a-question some put-forth
πεφροντισμένης δεόμενον ἀποκρίσεως· οἷον, ὅστις ἄριστος
a-considered needing answer such-as who best
ἐν τοῖς ἀνδράσιν, ἢ ποία τις ἡ τοῦδε πρᾶξις. ἐκ
among the men or what-sort some the of-this(-man) action from
τούτου δὲ καὶ κρίνειν τὰ καλὰ καὶ πολυπραγμονεῖν
this and both to-judge the noble(-things) and to-inquire
εὐθὺς ἐξ ἀρχῆς εἰθίζοντο περὶ τῶν πολιτῶν. τὸ γὰρ
at-once from beginning they-were-accustomed about the citizens the for
ἐρωτηθέντα, τίς πολίτης ἀγαθός, ἢ τίς οὐκ εὐδόκιμος,
having-been-asked what citizen good or who not reputable
ἀπορεῖν τοῦ ἀποκρίνασθαι, νωθρᾶς ἐποιοῦντο καὶ πρὸς
to-be-at-a-loss of-the to-answer of-a-sluggish they-made and toward
ἀρετὴν ἀφιλοτίμου ψυχῆς σημεῖον. ἔδει δὲ τὴν
virtue unambitious soul a-sign it-was-necessary and the
ἀπόκρισιν καὶ μετ᾽ αἰτίας εἶναι καὶ ἀποδείξεως εἰς
answer also with cause to-be and proof into
βραχύν τινα συνηγμένης λόγον καὶ σύντομον· ὁ δὲ
brief some compressed speech and concise the(-one) and

πλημμελῶς ἀποκρινάμενος ἐκολάζετο δῆγμα λαμβάνων
wrongly having-answered was-punished a-bite receiving
ὑπὸ τοῦ εἴρενος εἰς τὸν ἀντίχειρα. πολλάκις δὲ καὶ
from the eiren on the thumb often and also
πρεσβυτέρων παρόντων καὶ ἀρχόντων ὁ εἴρην ἐκόλαζε
older(-men) being-present and magistrates the eiren punished
τοὺς παῖδας, ἀπόδειξιν διδοὺς εἰ μετὰ λόγου καὶ ὡς
the boys proof giving whether with reason and as
δεῖ κολάζει. καὶ κολάζων μὲν οὐκ ἐκωλύετο, τῶν δὲ
it-is-needful he-punishes and punishing indeed not he-was-hindered of-the and
παίδων ἀπελθόντων εὐθύνας ὑπεῖχεν, εἰ τραχύτερον τοῦ
boys having-gone-away account he-rendered if more-harshly than-the
δέοντος ἐπετίμησεν ἢ τοὐναντίον ἐκλελυμένως καὶ ἀτόνως.
necessary he-rebuked or on-the-contrary laxly and feebly
Ἐκοινώνουν δὲ οἱ ἐρασταὶ τοῖς παισὶ τῆς δόξης ἐπ᾽
shared and the lovers with-the boys of-the reputation in
ἀμφότερα· καὶ λέγεταί ποτε παιδὸς ἐν τῷ μάχεσθαι
both(-ways) and it-is-said once a-boy in the to-fight
φωνὴν ἀγεννῆ προεμένου ζημιωθῆναι τὸν ἐραστὴν ὑπὸ
a-voice ignoble having-let-out to-have-been-fined the lover by
τῶν ἀρχόντων. οὕτω δὲ τοῦ ἐρᾶν ἐγκεκριμένου παρ᾽
the magistrates so and the to-love having-been-approved among
αὐτοῖς, ὥστε καὶ τῶν παρθένων ἐρᾶν τὰς καλὰς καὶ
them so-that even of-the maidens to-love the noble and
ἀγαθὰς γυναῖκας, τὸ ἀντερᾶν οὐκ ἦν, ἀλλὰ μᾶλλον
good women the to-be-rivals not was but rather
ἀρχὴν ἐποιοῦντο φιλίας πρὸς ἀλλήλους οἱ τῶν
a-beginning they-made of-friendship toward one-another the(-men) the
αὐτῶν ἐρασθέντες, καὶ διετέλουν κοινῇ σπουδάζοντες
same(-boy) having-loved and they-continued in-common striving
ὅπως ἄριστον ἀπεργάσαιντο τὸν ἐρώμενον.
so-that best they-might-make the beloved

19 Ἐδίδασκον δὲ τοὺς παῖδας καὶ λόγῳ χρῆσθαι πικρίαν
they-taught and the boys also speech to-use bitterness
ἔχοντι μεμιγμένην χάριτι καὶ πολλὴν ἀπὸ βραχείας λέξεως
having mixed with-grace and much from brief phrasing
ἀναθεώρησιν. τὸ μὲν γὰρ σιδηροῦν νόμισμα μικρὰν ἔχειν
reflection the indeed for iron money little to-have
ἐποίησεν ἀπὸ πολλοῦ σταθμοῦ δύναμιν ὁ Λυκοῦργος, ὡς
made from much weight value — Lycurgus as
εἴρηται, τὸ δὲ τοῦ λόγου νόμισμα τοὐναντίον ἀπ᾽ εὐτελοῦς
has-been-said the but of-the speech money on-the-contrary from cheap
καὶ ὀλίγης λέξεως εἰς πολλὴν καὶ περιττὴν κατεσκεύασε
and little phrasing into much and abundant fashioned
διάνοιαν, τῇ πολλῇ σιωπῇ τοὺς παῖδας ἀποφθεγματικοὺς
meaning by-the much silence the boys sententious
καὶ πεπαιδευμένους πρὸς τὰς ἀποκρίσεις μηχανώμενος. ὡς
and trained for the answers contriving as
γὰρ τὸ σπέρμα τῶν πρὸς τὰς συνουσίας ἀκολάστων
for the seed of-the(-men) toward the intercourse unrestrained
ἄγονον ὡς τὰ πολλὰ καὶ ἄκαρπόν ἐστιν, οὕτως ἡ
unproductive for the most-part and fruitless is so the
πρὸς τὸ λαλεῖν ἀκρασία κενὸν τὸν λόγον ποιεῖ καὶ
toward the to-talk incontinence empty the speech makes and
ἀνόητον. Ἄγις μὲν οὖν ὁ βασιλεύς, σκώπτοντος Ἀττικοῦ
senseless Agis indeed then the king jeering Attic
τινος τὰς Λακωνικὰς μαχαίρας εἰς τὴν μικρότητα, καὶ
some(-man) the Laconian swords for the smallness and
λέγοντος ὅτι ῥᾳδίως αὐτὰς οἱ θαυματοποιοὶ καταπίνουσιν
saying that easily them the jugglers swallow
ἐν τοῖς θεάτροις, “Καὶ μὴν μάλιστα,” εἶπεν, “ἡμεῖς
in the theaters and indeed most said we
ἐφικνούμεθα τοῖς ἐγχειριδίοις τῶν πολεμίων·” ἐγὼ δὲ
reach with-the daggers the enemies I and

καὶ τὸν λόγον ὁρῶ τὸν Λακωνικὸν βραχὺν μὲν εἶναι
also the speech see the Laconian brief indeed to-be
δοκοῦντα, μάλιστα δὲ τῶν πραγμάτων ἐφικνούμενον, καὶ
seeming most but the matters reaching and
τῆς διανοίας ἁπτόμενον τῶν ἀκροωμένων.
the thought grasping of-the(-men) listening
Καὶ γὰρ ὁ Λυκοῦργος αὐτὸς βραχυλόγος τις ἔοικε
and for — Lycurgus himself brief-spoken some(-one) seems
γενέσθαι καὶ ἀποφθεγματικός, εἰ δεῖ τεκμαίρεσθαι τοῖς
to-have-been and sententious if it-is-needful to-judge by-the
ἀπομνημονεύμασιν· οἷόν ἐστι τὸ περὶ τὰς πολιτείας
recorded-sayings such-as is the(-saying) about the constitutions
πρὸς τὸν ἀξιοῦντα ποιεῖν δημοκρατίαν ἐν τῇ πόλει· "Σὺ
to the(-man) thinking-fit to-make democracy in the city you
γάρ," ἔφη, "πρῶτος ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν."
for he-said first in the house of-you make democracy
καὶ περὶ τῶν θυσιῶν πρὸς τὸν πυθόμενον διὰ τί
and about the sacrifices to the(-man) having-inquired because-of what
μικρὰς οὕτω καὶ εὐτελεῖς ἔταξεν, "Ἵνα μή ποτε," ἔφη,
small so and cheap he-ordained(-them) so-that not ever he-said
"τιμῶντες τὸ θεῖον διαλίπωμεν." καὶ περὶ τῶν ἀθλημάτων,
honoring the divine we-may-leave-off and about the contests
ταῦτα μόνα μὴ κωλύσαντος ἀγωνίζεσθαι τοὺς πολίτας ἐν
these-things only not having-forbidden to-compete the citizens in
οἷς χεὶρ οὐκ ἀνατείνεται. φέρονται δὲ αὐτοῦ καὶ δι'
which a-hand not is-held-up are-reported and his also through
ἐπιστολῶν ἀποκρίσεις τοιαῦται πρὸς τοὺς πολίτας. πῶς ἂν
letters answers such to the citizens how —
πολεμίων ἔφοδον ἀλεξοίμεθα; "Ἂν πτωχοὶ μένητε καὶ μὴ
of-enemies attack might-we-ward-off if poor you-remain and not
μέσδων ἄτερος θατέρῳ ἐρᾶτε ἦμεν." καὶ πάλιν περὶ τῶν
greater the-one than-the-other desire to-be and again about the

τειχῶν· "Οὐκ ἂν εἴη ἀτείχιστος πόλις ἅτις ἀνδρεσσι, καὶ
walls not — would-be unwalled a-city which with-men and
οὐ πλίνθοις ἐστεφάνωται." περὶ μὲν οὖν τούτων καὶ τῶν
not with-bricks is-crowned about indeed then these and the
τοιούτων ἐπιστολῶν οὔτε ἀπιστῆσαι ῥᾴδιον οὔτε πιστεῦσαι.
such letters neither to-disbelieve easy nor to-believe
20 Τῆς δὲ πρὸς τὰ μήκη τῶν λόγων διαβολῆς δείγματα τοιαῦτα
of-the and toward the lengths of-the speeches dislike examples such
τῶν ἀποφθεγμάτων ἐστί. Λεωνίδας ὁ βασιλεὺς ἀκαίρως
of-the sayings are Leonidas the king unseasonably
τινὸς περὶ πραγμάτων οὐκ ἀχρήστων διαλεχθέντος,
some(-one) about matters not useless having-discussed
"Ὦ ξένε," εἶπεν, "οὐκ ἐν δέοντι χρῇ τῷ δέοντι."
O stranger said not in the-proper(-time) you-use the proper(-thing)
Χαρίλαος δὲ ὁ ἀδελφιδοῦς τοῦ Λυκούργου περὶ τῆς
Charilaus and the nephew — of-Lycurgus about the
ὀλιγότητος αὐτοῦ τῶν νόμων ἐρωτηθείς, εἶπεν ὡς οἱ
fewness his of-the laws having-been-asked said that those
λόγοις μὴ χρώμενοι πολλοῖς οὐδὲ νόμων δέονται πολλῶν.
words not using many nor laws need many
Ἀρχιδαμίδας δὲ μεμφομένων τινῶν Ἑκαταῖον τὸν
Archidamidas and blaming some(-people) Hecataeus the
σοφιστὴν ὅτι παραληφθεὶς εἰς τὸ συσσίτιον οὐδὲν ἔλεγεν,
sophist because having-been-taken-in to the common-meal nothing he-said
"Ὁ εἰδώς," ἔφη, "λόγον καὶ καιρὸν οἶδεν." ἃ δὲ τῶν
he knowing said speech also the-time knows which and of-the
πικρῶν ἔφην ἀπομνημονευμάτων οὐκ ἀμοιρεῖν χάριτος,
bitter I-said recorded-sayings not to-lack grace
τοιαῦτ' ἐστί. Δημάρατος ἀνθρώπου πονηροῦ κόπτοντος
such are Demaratus a-man wicked pestering
αὐτὸν ἀκαίροις ἐρωτήμασι καὶ δὴ τοῦτο πολλάκις
him with-unseasonable questions and indeed this often

ἐρωτῶντος, "Τίς ἄριστος Σπαρτιατῶν;" ἔφη· "Ὁ τὶν
asking who best of-Spartans said the(-one) to-you
ἀνομοιότατος." Ἄγις δέ, ἐπαινούντων τινῶν τοὺς Ἠλείους
most-unlike Agis and praising some(-men) the Eleans
ὡς καλῶς τὰ Ὀλύμπια καὶ δικαίως ἄγοντας, "Καὶ τί
as finely the Olympic-games and justly conducting and what
μέγα," ἔφη, "Ἠλεῖοι ποιοῦντι δι' ἐτῶν πέντε ἁμέρᾳ μιᾷ
great-thing said Eleans do through years five on-a-day one
χρώμενοι τᾷ δικαιοσύνᾳ;" Θεόπομπος δὲ ξένου τινὸς
using the justice Theopompus and a-stranger some(-one)
εὔνοιαν ἐνδεικνυμένου, καὶ φάσκοντος ὡς παρὰ τοῖς αὐτοῦ
goodwill showing and saying that among the his-own
πολίταις φιλολάκων καλεῖται, "Κάλλιον ἦν τοι," εἶπεν,
citizens a-Laconophile he-is-called finer was surely said(-he)
"ὦ ξένε, φιλοπολίταν καλεῖσθαι." Πλειστῶναξ δὲ ὁ
O stranger a-patriot to-be-called Pleistoanax and the
Παυσανίου, ῥήτορος Ἀθηναίου τοὺς Λακεδαιμονίους ἀμαθεῖς
son-of-Pausanias an-orator Athenian the Lacedaemonians unlearned
ἀποκαλοῦντος, "Ὀρθῶς," ἔφη, "λέγεις· μόνοι γὰρ Ἑλλάνων
calling rightly said(-he) you-speak alone for of-Greeks
ἄμμες οὐδὲν κακὸν μεμαθήκαμεν παρ' ὑμῶν." Ἀρχιδαμίδας
we nothing bad have-learned from you Archidamidas
δὲ πρὸς τὸν πυθόμενον πόσοι εἰσὶ Σπαρτιᾶται,
and to the(-man) having-inquired how-many are Spartans
"Ἱκανοί," εἶπεν, "ὦ ξένε, τοὺς κακοὺς ἀπερύκειν."
enough said(-he) O stranger the bad to-keep-off
Ἔστι δὲ καὶ τοῖς μετὰ παιδιᾶς εἰρημένοις
it-is-possible and also from-the(-things) with playfulness said
ὑπ' αὐτῶν τεκμήρασθαι τὸν ἐθισμόν. εἰθίζοντο γὰρ
by them to-judge the training they-were-accustomed for
μηδέποτε χρῆσθαι τῷ λόγῳ παρέργως, μηδὲ ἀφιέναι φωνὴν
never to-use the speech idly nor to-let-go a-sound

ἥτις οὐκ ἁμῶς γέ πως εἶχέ τινος θεωρίας ἀξίαν
which not in-any-way at-least somehow had of-any reflection worthy
διάνοιαν. ὁ μὲν γὰρ ἀκοῦσαι τοῦ μιμουμένου τὴν
meaning the(-one) indeed for to-hear of-the(-man) imitating the
ἀηδόνα παρακαλούμενος, "Αὐτᾶς," ἔφη, "ἄκουκα τήνας."
nightingale being-invited itself said I-have-heard that(-bird)
ὁ δὲ ἀναγνοὺς τὸ ἐπίγραμμα τοῦτο·
the(-other) and having-read the epigram this

Σβεννύντας ποτὲ τούσδε τυραννίδα χάλκεος Ἄρης
Quenching once these(-men) tyranny brazen Ares
εἶλε· Σελινοῦντος δ' ἀμφὶ πύλας ἔθανον,
seized of-Selinus and around gates they-died

"Δικαίως," εἶπε, "τεθνάκαντι τοὶ ἄνδρες· ἔδει γὰρ
justly said(-he) have-died the men it-was-necessary for
ἀφέμεν ὅλαν αὐτὰν κατακαᾶμεν." νεανίσκος δὲ πρὸς τὸν
to-let whole it to-burn-down a-young-man and to the(-man)
ἐπαγγελλόμενον αὐτῷ δώσειν ἀλεκτρυόνας ἀποθνήσκοντας
promising to-him to-give cocks dying
ἐν τῷ μάχεσθαι, "Μὴ σύ γε," εἶπεν, "ἀλλὰ δός μοι
in the fighting not you at-least said(-he) but give to-me
τῶν ἀποκτεινόντων ἐν τῷ μάχεσθαι." ἕτερος δέ τις
of-the(-ones) killing in the fighting another and some(-one)
ἰδὼν ἐν ἀποχωρήσει θακεύοντας ἐπὶ δίφρων ἀνθρώπους,
having-seen in a-privy sitting on stools people
"Μὴ γένοιτο," εἶπεν, "ἐνταῦθα καθίσαι ὅθεν οὐκ ἔστιν
not may-it-be said(-he) there to-sit whence not it-is-possible
ὑπεξαναστῆναι πρεσβυτέρῳ." τὸ μὲν οὖν τῶν ἀποφθεγμάτων
to-rise-up for-an-older(-man) the indeed then of-the sayings

εἶδος ἦν τοιοῦτον ὥστε καὶ λέγειν τινὰς οὐκ ἀτόπως ὅτι
form was such so-that even to-say some(-people) not absurdly that
μᾶλλόν ἐστι τὸ φιλοσοφεῖν ἢ τὸ φιλογυμναστεῖν λακωνίζειν.
more is the to-philosophize than the to-love-gymnastics to-Laconize

VI · SONG AND WAR

Spartan song stirs courage: the three choruses of old men, men in their prime, and boys answer one another, and Terpander, Pindar, and a Laconian poet join Spartan valor with music. Before battle the young men dress their long hair, the king sacrifices to the Muses, and the army advances to the flute without breaking its line. They pursue only far enough to secure the victory. Lycurgus may have been a warrior or a man of peace; the citizens' whole life is like a camp, with leisure, and helots working the land.

Ἡ δὲ περὶ τὰς ᾠδὰς καὶ τὰ μέλη παίδευσις οὐχ ἧττον 21
the and about the songs and the melodies training not less
ἐσπουδάζετο τῆς ἐν τοῖς λόγοις εὐζηλίας καὶ καθαριότητος,
was-pursued than-the in the speeches correct-style and purity
ἀλλὰ καὶ τὰ μέλη κέντρον εἶχεν ἐγερτικὸν θυμοῦ καὶ
but also the melodies a-sting had rousing of-spirit and
παραστατικὸν ὁρμῆς ἐνθουσιώδους καὶ πραγματικῆς, καὶ
inciting of-impulse enthusiastic and effective and
ἡ λέξις ἦν ἀφελὴς καὶ ἄθρυπτος ἐπὶ πράγμασι σεμνοῖς
the diction was simple and unaffected on themes solemn
καὶ ἠθοποιοῖς. ἔπαινοι γὰρ ἦσαν ὡς τὰ πολλὰ τῶν
and character-forming praises for they-were for the most-part of-the(-men)
τεθνηκότων ὑπὲρ τῆς Σπάρτης εὐδαιμονιζομένων, καὶ
having-died for — Sparta being-called-happy and
ψόγοι τῶν τρεσάντων, ὡς ἀλγεινὸν καὶ κακοδαίμονα
censures of-the(-men) having-trembled as painful and wretched

βιούντων βίον, ἐπαγγελία τε καὶ μεγαλαυχία πρὸς ἀρετὴν
living a-life promise both and boasting toward virtue
πρέπουσα ταῖς ἡλικίαις· ὧν ἕνεκα δείγματος οὐ
befitting to-the ages of-which for-the-sake-of an-example not
χεῖρόν ἐστιν ἕν τι προενέγκασθαι. τριῶν γὰρ χορῶν
worse is one some(-thing) to-bring-forward three for choruses
κατὰ τὰς τρεῖς ἡλικίας συνισταμένων ἐν ταῖς ἑορταῖς,
according-to the three ages being-formed in the festivals
ὁ μὲν τῶν γερόντων ἀρχόμενος ᾖδεν·
the indeed of-the old-men beginning sang

Ἄμμες πόκ' ἦμες ἄλκιμοι νεανίαι.
We once were valiant young-men

ὁ δὲ τῶν ἀκμαζόντων ἀμειβόμενος ἔλεγεν·
the and of-the men-in-their-prime answering said

Ἄμμες δέ γ' εἰμέν· αἰ δὲ λῇς, αὐγάσδεο.
We and at-least are if but you-wish look

ὁ δὲ τρίτος ὁ τῶν παίδων·
the and third the of-the boys

Ἄμμες δέ γ' ἐσσόμεσθα πολλῷ κάρρονες.
We and at-least shall-be by-much stronger

Ὅλως δὲ ἄν τις ἐπιστήσας τοῖς Λακωνικοῖς ποιήμασιν,
altogether and — anyone having-attended to-the Laconian poems
ὧν ἔτι καθ' ἡμᾶς ἔνια διεσώζετο, καὶ τοὺς ἐμβατηρίους
of-which still in our(-time) some were-preserved and the marching
ῥυθμοὺς ἀναλαβών, οἷς ἐχρῶντο πρὸς τὸν αὐλὸν ἐπάγοντες
rhythms having-taken-up which they-used to the flute leading-on

τοῖς πολεμίοις, οὐ κακῶς ἡγήσαιτο καὶ τὸν Τέρπανδρον
against-the enemies not badly would-think also — Terpander
καὶ τὸν Πίνδαρον τὴν ἀνδρείαν τῇ μουσικῇ συνάπτειν.
and — Pindar the courage with-the music to-join
ὁ μὲν γὰρ οὕτως πεποίηκε περὶ τῶν Λακεδαιμονίων·
the(-one) indeed for so has-composed about the Lacedaemonians

Ἔνθ' αἰχμά τε νέων θάλλει καὶ μοῦσα λίγεια
There spear both of-young(-men) flourishes and muse clear-voiced
καὶ δίκα εὐρυάγυια — —
and justice of-broad-streets

Πίνδαρος δέ φησιν·
Pindar and says

Ἔνθα βουλαὶ γερόντων
There councils of-old-men
καὶ νέων ἀνδρῶν ἀριστεύοντι αἰχμαι
and of-young men excel spears
καὶ χοροὶ καὶ Μοῦσα καὶ ἀγλαΐα.
and choruses and Muse and splendor

Μουσικωτάτους γὰρ ἅμα καὶ πολεμικωτάτους ἀποφαίνουσιν
most-musical for at-once and most-warlike they-show
αὐτούς·
them

Ῥέπει γὰρ ἄντα τῷ σιδάρῳ τὸ καλῶς κιθαρίσδεν,
Weighs for against the iron the well to-play-the-lyre

ὡς ὁ Λακωνικὸς ποιητὴς εἴρηκε. καὶ γὰρ ἐν ταῖς μάχαις
as the Laconian poet has-said and for in the battles
προεθύετο ταῖς Μούσαις ὁ βασιλεύς, ἀναμιμνήσκων, ὡς
sacrificed-first to-the Muses the king reminding(-them) as
ἔοικε, τῆς παιδείας καὶ τῶν κρίσεων, ἵνα ὦσι
it-seems of-the training and of-the judgments so-that they-might-be
πρόχειροι παρὰ τὰ δεινὰ καὶ λόγου τινὸς ἀξίας
ready in-the-face-of the dangers and of-mention some worthy
παρέχωσι τὰς πράξεις τῶν μαχομένων.
might-render the deeds of-the(-men) fighting

22 Τότε δὲ καὶ τοῖς νέοις τὰ σκληρότατα τῆς ἀγωγῆς
then and also for-the young-men the harshest(-parts) of-the discipline
ἐπανιέντες, οὐκ ἐκώλυον καλλωπίζεσθαι περὶ κόμην καὶ
relaxing not they-prevented to-adorn-themselves about hair and
κόσμον ὅπλων καὶ ἱματίων, χαίροντες, ὥσπερ ἵπποις,
adornment of-arms and of-cloaks rejoicing as-in horses
γαυριῶσι καὶ φρυαττομένοις πρὸς τοὺς ἀγῶνας. διὸ
prancing and snorting toward the contests wherefore
κομῶντες εὐθὺς ἐκ τῆς τῶν ἐφήβων ἡλικίας, μάλιστα περὶ
wearing-long-hair at-once from the of-the ephebes age most at
τοὺς κινδύνους ἐθεράπευον τὴν κόμην λιπαράν τε φαίνεσθαι
the dangers they-tended the hair glossy both to-appear
καὶ διακεκριμένην, ἀπομνημονεύοντές τινα καὶ Λυκούργου
and parted remembering a-certain also of-Lycurgus
λόγον περὶ τῆς κόμης, ὅτι τοὺς μὲν καλοὺς εὐπρεπεστέρους
saying about the hair that the indeed handsome more-comely
ποιεῖ, τοὺς δὲ αἰσχροὺς φοβερωτέρους. ἐχρῶντο δὲ καὶ
it-makes the and ugly more-fearsome they-used and also
γυμνασίοις μαλακωτέροις παρὰ τὰς στρατείας, καὶ τὴν
exercises gentler during the campaigns and the
ἄλλην δίαιταν οὐχ οὕτω κεκολασμένην οὐδ' ὑπεύθυνον
other way-of-life not so restrained nor accountable

τοῖς νέοις παρεῖχον, ὥστε μόνοις ἀνθρώπων ἐκείνοις
for-the young-men they-provided so-that for-only of-men them
τῆς εἰς τὸν πόλεμον ἀσκήσεως ἀνάπαυσιν εἶναι τὸν
of-the for the war training a-rest to-be the
πόλεμον. ἤδη δὲ συντεταγμένης τῆς φάλαγγος αὐτῶν
war already and drawn-up the phalanx their
καὶ τῶν πολεμίων παρόντων, ὁ βασιλεὺς ἅμα τήν τε
and the enemies being-present the king at-once the both
χίμαιραν ἐσφαγιάζετο καὶ στεφανοῦσθαι παρήγγελλε πᾶσι
she-goat sacrificed and to-be-crowned ordered all
καὶ τοὺς αὐλητὰς αὐλεῖν ἐκέλευε τὸ Καστόρειον μέλος·
and the flute-players to-play ordered the of-Castor tune
ἅμα δ' ἐξῆρχεν ἐμβατηρίου παιᾶνος, ὥστε σεμνὴν ἅμα
at-once and led-off a-marching paean so-that solemn at-once
καὶ καταπληκτικὴν τὴν ὄψιν εἶναι, ῥυθμῷ τε πρὸς τὸν
and terrifying the sight to-be in-rhythm both to the
αὐλὸν ἐμβαινόντων καὶ μήτε διάσπασμα ποιούντων ἐν τῇ
flute stepping and neither gap making in the
φάλαγγι μήτε ταῖς ψυχαῖς θορυβουμένων, ἀλλὰ πρᾴως
phalanx nor in-the souls being-disturbed but gently
καὶ ἱλαρῶς ὑπὸ τοῦ μέλους ἀγομένων ἐπὶ τὸν κίνδυνον.
and cheerfully by the tune being-led to the danger
οὔτε γὰρ φόβον οὔτε θυμὸν ἐγγίνεσθαι πλεονάζοντα τοῖς
neither for fear nor spirit to-arise excessive in-those
οὕτω διακειμένοις εἰκός ἐστιν, ἀλλ' εὐσταθὲς φρόνημα μετ'
so disposed likely is but steady resolve with
ἐλπίδος καὶ θράσους, ὡς τοῦ θεοῦ συμπαρόντος.
hope and boldness as the god being-present-with(-them)
Ἐχώρει δὲ ὁ βασιλεὺς ἐπὶ τοὺς πολεμίους ἔχων
advanced and the king against the enemies having
μεθ' ἑαυτοῦ στεφανίτην ἀγῶνα νενικηκότα. καί φασί
with himself a-crowned contest having-won(-man) and they-say

γέ τινα χρημάτων πολλῶν ἐν Ὀλυμπίοις διδομένων
at-least someone money much at the-Olympic-games being-given
αὐτῷ μὴ δεξάμενον, ἀλλὰ πολλῷ πόνῳ καταπαλαίσαντα
him not having-accepted but with-much labor having-thrown
τὸν ἀνταγωνιστήν, ὥς τις εἶπεν αὐτῷ, "Τί σοι
the antagonist when someone said to-him what to-you
πλέον, ὦ Λάκων, γέγονε διὰ τῆς νίκης;" φάναι
more O Laconian has-come through the victory to-have-said
μειδιάσαντα, "Πρὸ τοῦ βασιλέως τεταγμένος μαχοῦμαι τοῖς
having-smiled before the king stationed I-shall-fight the
πολεμίοις." τρεψάμενοι δὲ καὶ νικήσαντες ἐδίωκον ὅσον
enemies having-routed and and having-conquered they-pursued as-far-as
ἐκβεβαιώσασθαι τὸ νίκημα τῇ φυγῇ τῶν πολεμίων, εἶτα
to-confirm the victory by-the flight of-the enemies then
εὐθὺς ἀνεχώρουν, οὔτε γενναῖον οὔτε Ἑλληνικὸν ἡγούμενοι
at-once they-withdrew neither noble nor Greek thinking(-it)
κόπτειν καὶ φονεύειν ἀπολεγομένους καὶ παρακεχωρηκότας.
to-cut-down and to-slay those-giving-up and having-yielded
ἦν δὲ οὐ μόνον καλὸν τοῦτο καὶ μεγαλόψυχον, ἀλλὰ καὶ
it-was and not only noble this and magnanimous but also
χρήσιμον. εἰδότες γὰρ οἱ μαχόμενοι πρὸς αὐτοὺς ὅτι τοὺς
useful knowing for those fighting against them that the(-ones)
ὑφισταμένους ἀναιροῦσι, φείδονται δὲ τῶν ἐνδιδόντων,
standing-firm they-destroy they-spare but the(-ones) giving-way
τοῦ μένειν τὸ φεύγειν ἡγοῦντο λυσιτελέστερον.
than-the to-stand-firm the to-flee thought more-profitable

23 Αὐτὸν δὲ τὸν Λυκοῦργον Ἱππίας μὲν ὁ σοφιστὴς
himself and — Lycurgus Hippias indeed the sophist
πολεμικώτατόν φησι γενέσθαι καὶ πολλῶν ἔμπειρον
most-warlike says to-have-been and of-many experienced
στρατειῶν, Φιλοστέφανος δὲ καὶ τὴν κατ' οὐλαμοὺς
campaigns Philostephanus and also the by oulamoi

τῶν ἱππέων διανομὴν Λυκούργῳ προστίθησιν· εἶναι δὲ
of-the cavalry distribution to-Lycurgus attributes to-be and
τὸν οὐλαμόν, ὡς ἐκεῖνος συνέστησεν, ἱππέων πεντήκοντα
the oulamos as he organized of-horsemen fifty
πλῆθος ἐν τετραγώνῳ σχήματι τεταγμένων. ὁ δὲ Φαληρεὺς
a-body in square formation drawn-up the but Phalerean
Δημήτριος, οὐδεμιᾶς ἁψάμενον πολεμικῆς πράξεως ἐν
Demetrius no having-engaged-in warlike action in
εἰρήνῃ καταστήσασθαι τὴν πολιτείαν. ἔοικε δὲ καὶ τῆς
peace to-have-established the constitution seems and also of-the
Ὀλυμπιακῆς ἐκεχειρίας ἡ ἐπίνοια πράου καὶ πρὸς εἰρήνην
Olympic truce the conception of-a-gentle and toward peace
οἰκείως ἔχοντος ἀνδρὸς εἶναι. καίτοι φασί τινες, ὡς
familiarly disposed man to-be and-yet say some as
Ἕρμιππος μνημονεύει, τὸν Λυκοῦργον οὐ προσέχειν οὐδὲ
Hermippus mentions — Lycurgus not to-have-attended nor
κοινωνεῖν ἐν ἀρχῇ τοῖς περὶ τὸν Ἴφιτον, ἀλλὰ
to-have-shared in beginning with-the(-men) about — Iphitus but
τυγχάνειν ἄλλως ἐπιδημοῦντα καὶ θεώμενον· ἀκοῦσαι
to-happen idly being-in-town and watching to-have-heard
δὲ φωνὴν ὥσπερ ἀνθρώπου τινὸς ἐξόπισθεν ἐπιτιμῶντος
and a-voice as-if of-a-man some from-behind rebuking
αὐτῷ καὶ θαυμάζοντος ὅτι τοὺς πολίτας οὐ προτρέπεται
him and wondering that the citizens not he-urges
κοινωνεῖν τῆς πανηγύρεως· ὡς δὲ μεταστραφέντος
to-share of-the festival when and having-turned-round
οὐδαμοῦ φανερὸς ὁ φθεγξάμενος ἦν, θεῖον ἡγησάμενον,
nowhere visible the(-one) having-spoken was divine thinking(-it)
οὕτω πρὸς τὸν Ἴφιτον τραπέσθαι καὶ συνδιακοσμήσαντα
so to — Iphitus to-have-turned and having-helped-to-order
τὴν ἑορτὴν ἐνδοξοτέραν καὶ βεβαιοτέραν καταστῆσαι.
the festival more-glorious and more-secure to-have-made(-it)

24 Ἡ δὲ παιδεία μέχρι τῶν ἐνηλίκων διέτεινεν. οὐδεὶς γὰρ ἦν
the and training until the adults extended no-one for was
ἀφειμένος ὡς ἐβούλετο ζῆν, ἀλλ' οἷον ἐν στρατοπέδῳ τῇ
released as he-wished to-live but as-it-were in a-camp in-the
πόλει καὶ δίαιταν ἔχοντες ὡρισμένην καὶ διατριβὴν περὶ
city both way-of-life having fixed and occupation about
τὰ κοινά, καὶ ὅλως νομίζοντες οὐχ αὑτῶν, ἀλλὰ τῆς
the common(-affairs) and wholly thinking not of-themselves but of-the
πατρίδος εἶναι διετέλουν, εἰ μή τι πράττειν ἕτερον
fatherland to-be they-continued if not some(-thing) to-do else
εἴη προστεταγμένον, ἐπισκοποῦντες τοὺς παῖδας, καὶ
should-be ordered overseeing the boys and
διδάσκοντές τι τῶν χρησίμων ἢ μανθάνοντες αὐτοὶ
teaching some(-thing) of-the useful(-things) or learning themselves
παρὰ τῶν πρεσβυτέρων. καὶ γὰρ ἕν τι τοῦτο τῶν
from the older(-men) and for one some(-thing) this of-the
καλῶν ἦν καὶ μακαρίων ἃ παρεσκεύασε τοῖς ἑαυτοῦ
noble(-things) was and blessed which provided to-the his-own
πολίταις ὁ Λυκοῦργος, ἀφθονία σχολῆς, οἷς τέχνης μὲν
citizens — Lycurgus abundance of-leisure to-whom art indeed
ἅψασθαι βαναύσου τὸ παράπαν οὐκ ἐφεῖτο, χρηματισμοῦ
to-touch mechanical the altogether not was-permitted of-money-making
δὲ συναγωγὴν ἔχοντος ἐργώδη καὶ πραγματείαν οὐδ'
and amassing having laborious and business not-even
ὁτιοῦν ἔδει, διὰ τὸ κομιδῇ τὸν πλοῦτον ἄζηλον
anything was-needed because-of the entirely the wealth unenvied
γεγονέναι καὶ ἄτιμον. οἱ δὲ εἵλωτες αὐτοῖς εἰργάζοντο
to-have-become and unhonored the and helots for-them worked
τὴν γῆν, ἀποφορὰν τὴν εἰρημένην τελοῦντες. ἐπιδημῶν
the land rent the stated paying being-in-town
δέ τις Ἀθήνησι δικαστηρίων ὄντων, καὶ πυθόμενός
and someone at-Athens law-courts being and having-learned

τινα δίκην ἀργίας ὠφληκότα βαδίζειν ἀθυμοῦντα
a-certain(-man) for-a-suit of-idleness having-been-convicted to-walk despondent
καὶ προπεμπόμενον ὑπὸ τῶν φίλων συναχθομένων καὶ
and being-escorted by the friends sharing-his-grief and
βαρέως φερόντων, ἐδεῖτο δεῖξαι τοὺς συμπαρόντας
heavily bearing(-it) asked to-show(-him) the(-men) present-with
αὐτῷ τίς ἐστιν ὁ τὴν ἐλευθερίας ἑαλωκὼς δίκην.
him who is the(-man) the of-freedom having-been-convicted suit
οὕτω δουλοπρεπὲς ἡγοῦντο τὴν περὶ τὰς τέχνας καὶ τὸν
so slavish they-thought the about the arts and the
χρηματισμὸν ἀσχολίαν. δίκαι δέ, ὡς εἰκός, ἐξέλιπον ἅμα
money-making occupation lawsuits and as is-likely disappeared together-with
τῷ νομίσματι, μήτε πλεονεξίας μήτε ἀπορίας αὐτοῖς
the coinage neither greed nor want to-them
παρούσης, ἰσότητος δὲ ἐν εὐπορίᾳ καὶ ῥᾳστώνης δι᾽
being-present equality and in abundance and ease through
εὐτέλειαν γεγενημένης. χοροὶ δὲ καὶ θαλίαι καὶ εὐωχίαι καὶ
simplicity having-arisen choruses and and festivals and feasts and
διατριβαὶ περί τε θήρας καὶ γυμνάσια καὶ λέσχας τὸν
pastimes about both hunting and gymnasia and lounging-places the
ἅπαντα χρόνον ἐπεχωρίαζον, ὅτε μὴ στρατευόμενοι τύχοιεν.
whole time they-frequented when not campaigning they-happened

Men under thirty do not go to the agora, and their elders pass the day in exercise and talk. The citizens live for the city: Paedaretus rejoices that three hundred better than he were chosen, and Brasidas' mother says Sparta has many better men. The elders are chosen by the loudness of the assembly's shouts. Lycurgus sets burial and mourning rules, forbids travel abroad, and expels strangers. Plutarch doubts that he founded the krypteia, the night killings of helots, which Aristotle ascribes to him.

25 Οἱ μέν γε νεώτεροι τριάκοντα ἐτῶν τὸ παράπαν
the indeed at-least younger than-thirty years the altogether
οὐ κατέβαινον εἰς ἀγοράν, ἀλλὰ διὰ τῶν συγγενῶν
not went-down into the-market-place but through the kinsmen
καὶ τῶν ἐραστῶν ἐποιοῦντο τὰς ἀναγκαίας οἰκονομίας.
and the lovers they-made the necessary household-purchases
τοῖς δὲ πρεσβυτέροις αἰσχρὸν ἦν συνεχῶς ὁρᾶσθαι
for-the and older(-men) shameful it-was continually to-be-seen
περὶ ταῦτα διατρίβουσιν, ἀλλὰ μὴ τὸ πλεῖστον τῆς
about these-things spending-time but not the most of-the
ἡμέρας περὶ τὰ γυμνάσια καὶ τὰς καλουμένας λέσχας
day about the gymnasia and the so-called lounging-places
ἀναστρέφεσθαι. καὶ γὰρ εἰς ταύτας συνιόντες ἐπιεικῶς
to-pass-time and for into these coming-together decently
ἐσχόλαζον μετ' ἀλλήλων, οὐδενὸς μεμνημένοι τῶν
they-spent-leisure with one-another nothing mentioning of-the(-things)
πρὸς χρηματισμὸν ἢ χρείαν ἀγοραῖον συντελούντων· ἀλλὰ
toward money-making or business of-the-market contributing but
τὸ πλεῖστον ἦν τῆς τοιαύτης διατριβῆς ἔργον ἐπαινεῖν
the most was of-the such pastime work to-praise
τι τῶν καλῶν, ἢ τῶν αἰσχρῶν ψέγειν, μετὰ
some(-thing) of-the noble(-things) or the base(-things) to-blame with
παιδιᾶς καὶ γέλωτος, ἐλαφρῶς ὑποφέροντος εἰς νουθεσίαν
playfulness and laughter lightly leading-on toward admonition

καὶ διόρθωσιν. οὐδὲ γὰρ αὐτὸς ἦν ἀκράτως αὐστηρὸς ὁ
and correction not-even for himself was immoderately austere —
Λυκοῦργος· ἀλλὰ καὶ τὸ τοῦ Γέλωτος ἀγαλμάτιον ἐκεῖνον
Lycurgus but also the — of-Laughter little-statue him
ἱδρύσασθαι Σωσίβιος ἱστορεῖ, τὴν παιδιὰν ὥσπερ ἥδυσμα
to-have-set-up Sosibius records the playfulness as seasoning
τοῦ πόνου καὶ τῆς διαίτης ἐμβαλόντα κατὰ καιρὸν
of-the toil and of-the way-of-life having-introduced at the-right-time
εἰς τὰ συμπόσια καὶ τὰς τοιαύτας διατριβάς.
into the drinking-parties and the such pastimes
Τὸ δὲ ὅλον εἴθιζε τοὺς πολίτας μὴ βούλεσθαι μηδὲ
the and whole he-accustomed the citizens not to-wish nor
ἐπίστασθαι κατ' ἰδίαν ζῆν, ἀλλ' ὥσπερ τὰς μελίττας τῷ
to-know-how in private to-live but like the bees to-the
κοινῷ συμφυεῖς ὄντας ἀεὶ καὶ μετ' ἀλλήλων εἱλουμένους
community grown-together being always and with one-another thronging
περὶ τὸν ἄρχοντα, μικροῦ δεῖν ἐξεστῶτας ἑαυτῶν ὑπ'
around the leader of-little to-lack being-out of-themselves through
ἐνθουσιασμοῦ καὶ φιλοτιμίας, ὅλους εἶναι τῆς πατρίδος·
enthusiasm and ambition wholly to-be of-the fatherland
ὡς ἔστι καὶ φωναῖς τισιν αὐτῶν ἀποθεωρῆσαι
as it-is-possible also in-utterances some their to-observe
τὴν διάνοιαν. ὁ μὲν γὰρ Παιδάρητος οὐκ ἐγκριθεὶς
the thought — indeed for Paedaretus not having-been-chosen
εἰς τοὺς τριακοσίους ἀπῄει μάλα φαιδρός, ὥσπερ
among the three-hundred went-away very cheerful as-if
χαίρων ὅτι βελτίονας αὐτοῦ τριακοσίους ἡ πόλις ἔχει·
rejoicing that better than-himself three-hundred the city has
Πολυκρατίδας δὲ ὁ πρεσβεύων πρὸς τοὺς βασιλέως
Polycratidas and the(-one) being-an-envoy to the of-the-king
στρατηγοὺς μεθ' ἑτέρων, ἐρομένων αὐτῶν πότερον ἰδίᾳ
generals with others having-asked they whether privately

πάρεισιν ἢ δημοσίᾳ πεμφθέντες, εἶπεν, "Αἴκα τύχωμεν,
they-are-present or publicly having-been-sent said if we-succeed
δημοσίᾳ, αἴκα ἀποτύχωμεν, ἰδίᾳ." ἡ δὲ Βρασίδου μήτηρ
publicly if we-fail privately the and of-Brasidas mother
Ἀργιλεωνίς, ὡς ἀφικόμενοί τινες εἰς Λακεδαίμονα τῶν
Argileonis when having-come some to Lacedaemon of-the(-men)
ἐξ Ἀμφιπόλεως εἰσῆλθον πρὸς αὐτήν, ἠρώτησεν εἰ
from Amphipolis came-in to her asked whether
καλῶς ὁ Βρασίδας ἀπέθανε καὶ τᾶς Σπάρτας ἀξίως·
nobly — Brasidas died and — of-Sparta worthily
μεγαλυνόντων δὲ ἐκείνων τὸν ἄνδρα καὶ λεγόντων ὡς
extolling and they the man and saying that
οὐκ ἔχει τοιοῦτον ἄλλον ἡ Σπάρτη· "Μὴ λέγετε," εἶπεν,
not has such another — Sparta not say(-so) she-said
"ὦ ξένοι· καλὸς μὲν γὰρ ἦν καὶ ἀγαθὸς ὁ Βρασίδας,
O strangers noble indeed for was and good — Brasidas
πολλοὺς δὲ ἄνδρας Λακεδαίμων ἔχει τήνου κάρρονας."
many but men Lacedaemon has than-that-one better
26 Τοὺς δὲ γέροντας αὐτὸς μέν, ὡς εἴρηται, κατέστησε
the and elders himself indeed as has-been-said appointed
τὸ πρῶτον ἐκ τῶν μετασχόντων τοῦ βουλεύματος·
the first(-time) from the(-men) having-shared of-the plan
ὕστερον δὲ ἀντὶ τοῦ τελευτῶντος ἔταξε καθιστάναι
later and instead-of the(-one) dying he-ordained to-appoint
τὸν ἄριστον ἀρετῇ κριθέντα τῶν ὑπὲρ ἑξήκοντα ἔτη
the best in-virtue judged of-the(-men) over sixty years
γεγονότων. καὶ μέγιστος ἐδόκει τῶν ἐν ἀνθρώποις
having-become and greatest seemed of-the among men
ἀγώνων οὗτος εἶναι καὶ περιμαχητότατος· οὐ γὰρ ἐν
contests this to-be and most-hotly-contested not for among
ταχέσι τάχιστον οὐδ' ἐν ἰσχυροῖς ἰσχυρότατον, ἀλλ'
swift(-men) swiftest nor among strong(-men) strongest but

ἐν ἀγαθοῖς καὶ σώφροσιν ἄριστον καὶ σωφρονέστατον
among good and self-controlled(-men) best and most-self-controlled
ἔδει κριθέντα νικητήριον ἔχειν τῆς ἀρετῆς διὰ
it-was-necessary having-been-judged prize to-have of-the virtue for
βίου τὸ σύμπαν, ὡς εἰπεῖν, κράτος ἐν τῇ πολιτείᾳ, κύριον
life the whole so to-speak power in the constitution sovereign
ὄντα καὶ θανάτου καὶ ἀτιμίας καὶ ὅλως τῶν μεγίστων.
being both of-death and of-disgrace and in-general of-the greatest(-matters)
ἐγίνετο δὲ ἡ κρίσις τόνδε τὸν τρόπον. ἐκκλησίας
took-place and the judgment this the manner the-assembly
ἀθροισθείσης ἄνδρες αἱρετοὶ καθείργνυντο πλησίον εἰς
having-been-gathered men chosen were-shut-up nearby in
οἴκημα, τὴν μὲν ὄψιν οὐχ ὁρῶντες οὐδὲ ὁρώμενοι, τὴν
a-building the indeed sight not seeing nor being-seen the
δὲ κραυγὴν μόνον ἀκούοντες ἐκκλησιαζόντων. βοῇ γὰρ
but shouting only hearing of-those-assembling by-shout for
ὡς τἆλλα καὶ τοὺς ἁμιλλωμένους ἔκρινον, οὐχ ὁμοῦ
as the-other(-things) also the competitors they-judged not together
πάντων, ἀλλ᾽ ἑκάστου κατὰ κλῆρον εἰσαγομένου καὶ σιωπῇ
all but each by lot being-brought-in and in-silence
διαπορευομένου τὴν ἐκκλησίαν. ἔχοντες οὖν οἱ κατάκλειστοι
passing-through the assembly having then the shut-up(-men)
γραμματεῖα, καθ᾽ ἕκαστον ἐπεσημαίνοντο τῆς κραυγῆς τὸ
tablets for each marked of-the shouting the
μέγεθος, οὐκ εἰδότες ὅτῳ γένοιτο, πλὴν ὅτι πρῶτος ἢ
loudness not knowing for-whom it-was except that first or
δεύτερος ἢ τρίτος ἢ ὁποστοσοῦν εἴη τῶν εἰσαγομένων.
second or third or whichever-in-order he-was of-those brought-in
ὅτῳ δὲ πλείστη γένοιτο καὶ μεγίστη, τοῦτον ἀνηγόρευον.
for-whom and most it-was and loudest this(-man) they-proclaimed
ὁ δὲ στεφανωσάμενος περιήει τοὺς θεούς· εἵποντο δὲ
he and having-crowned(-himself) went-around the gods followed and

πολλοὶ νέοι ζηλοῦντες τὸν ἄνδρα καὶ μεγαλύνοντες,
many young(-men) emulating the man and extolling(-him)
πολλαί τε γυναῖκες ἐγκωμιάζουσαι δι᾽ ᾠδῆς τὴν ἀρετὴν
many both women praising through song the virtue
καὶ τὸν βίον εὐδαιμονίζουσαι. τῶν δὲ ἐπιτηδείων ἕκαστος
and the life calling-happy of-the and intimates each
αὐτῷ δεῖπνον παρατιθεὶς ἔλεγεν ὅτι ἡ πόλις ταύτῃ
to-him a-supper setting-before said that the city with-this
τιμᾷ τῇ τραπέζῃ. περιελθὼν δὲ εἰς τὸ συσσίτιον
honors(-him) the table having-gone-around and to the common-meal
ἀπῄει· καὶ τὰ μὲν ἄλλα ἐγίνετο συνήθως, δευτέρας
he-went-away and the indeed other-things took-place customarily a-second
δὲ μερίδος αὐτῷ παρατεθείσης ἐφύλαττεν ἀράμενος·
and portion to-him having-been-set-before he-kept(-it) having-taken-up
καὶ μετὰ τὸ δεῖπνον ἐπὶ ταῖς θύραις τοῦ φιδιτίου τῶν
and after the supper at the doors of-the phiditium of-the
οἰκείων παρουσῶν γυναικῶν, ἣν μάλιστα τυγχάνοι τιμῶν
related being-present women whom most he-happened honoring
προσεκαλεῖτο, καὶ διδοὺς τὴν μοῖραν ἔλεγεν ὅτι ταύτην
he-called-to(-him) and giving the share said that this
αὐτὸς λαβὼν ἀριστεῖον ἐκείνῃ δίδωσιν, ὥστε κἀκείνην
he-himself having-received as-a-prize-of-valor to-her gives so-that she-also
ζηλουμένην ὑπὸ τῶν ἄλλων προπέμπεσθαι γυναικῶν.
being-envied by the other to-be-escorted women

27 Καὶ μὴν καὶ τὰ περὶ τὰς ταφὰς ἄριστα διεκόσμησεν
and indeed also the(-matters) about the burials excellently he-arranged
αὐτοῖς. πρῶτον μὲν γὰρ ἀνελὼν δεισιδαιμονίαν ἅπασαν
for-them first indeed for having-abolished superstition all
ἐν τῇ πόλει θάπτειν τοὺς νεκρούς, καὶ πλησίον ἔχειν τὰ
in the city to-bury the dead and near to-have the
μνήματα τῶν ἱερῶν οὐκ ἐκώλυσε, συντρόφους ποιῶν
tombs of-the sacred(-places) not he-forbade familiar making

ταῖς τοιαύταις ὄψεσι καὶ συνήθεις τοὺς νέους, ὥστε μὴ
with-the such sights and accustomed the young so-that not
ταράττεσθαι μηδ' ὀρρωδεῖν τὸν θάνατον ὡς μιαίνοντα τοὺς
to-be-troubled nor to-dread the death as polluting the(-ones)
ἁψαμένους νεκροῦ σώματος ἢ διὰ τάφων διελθόντας.
having-touched a-dead body or through graves having-passed
ἔπειτα συνθάπτειν οὐδὲν εἴασεν, ἀλλὰ ἐν φοινικίδι καὶ
then to-bury-with(-it) nothing he-allowed but in a-red-cloak and
φύλλοις ἐλαίας θέντες τὸ σῶμα περιέστελλον. ἐπιγράψαι
leaves of-olive having-placed the body they-wrapped(-it) to-inscribe
δὲ τοὔνομα θάψαντας οὐκ ἐξῆν τοῦ νεκροῦ, πλὴν
and the-name having-buried not it-was-permitted of-the dead except
ἀνδρὸς ἐν πολέμῳ καὶ γυναικὸς τῶν ἱερῶν ἀποθανόντων.
of-a-man in war and of-a-woman of-the holy(-ones) having-died
χρόνον δὲ πένθους ὀλίγον προσώρισεν, ἡμέρας ἕνδεκα· τῇ
time and of-mourning short he-fixed days eleven on-the
δὲ δωδεκάτῃ θύσαντας ἔδει Δήμητρι λύειν τὸ πάθος.
and twelfth having-sacrificed it-was-necessary to-Demeter to-end the grief
οὐδὲν γὰρ ἦν ἀργὸν οὐδὲ ἀφειμένον, ἀλλὰ πᾶσι κατεμίγνυε
nothing for was idle nor left-loose but with-all he-mixed
τοῖς ἀναγκαίοις ἀρετῆς τινα ζῆλον ἢ κακίας διαβολήν·
the necessary(-things) of-virtue some emulation or of-vice reproach
καὶ κατεπύκνου παραδειγμάτων πλήθει τὴν πόλιν, οἷς
and he-thickly-filled of-examples with-a-multitude the city which
ἀναγκαῖον ἦν ἐντυγχάνοντας ἀεὶ καὶ συντρεφομένους
necessary it-was meeting always and growing-up-with
ἄγεσθαι καὶ κατασχηματίζεσθαι ἰόντας πρὸς τὸ καλόν.
to-be-led and to-be-shaped going toward the noble
Ὅθεν οὐδ' ἀποδημεῖν ἔδωκε τοῖς βουλομένοις καὶ
whence not-even to-travel-abroad he-granted to-those wishing and
πλανᾶσθαι, ξενικὰ συνάγοντας ἤθη καὶ μιμήματα βίων
to-wander foreign gathering manners and imitations of-lives

ἀπαιδεύτων καὶ πολιτευμάτων διαφόρων. ἀλλὰ καὶ τοὺς
uneducated and of-constitutions different but also the(-men)
ἀθροιζομένους ἐπ᾽ οὐδενὶ χρησίμῳ καὶ παρεισρέοντας εἰς
flocking-together for no useful(-purpose) and stealing-in into
τὴν πόλιν ἀπήλαυνεν, οὐχ, ὡς Θουκυδίδης φησί, δεδιὼς
the city he-drove-out not as Thucydides says fearing
μὴ τῆς πολιτείας μιμηταὶ γένωνται καὶ πρὸς ἀρετήν
lest of-the constitution imitators they-become and toward virtue
τι χρήσιμον ἐκμάθωσιν, ἀλλὰ μᾶλλον ὅπως μὴ
some(-thing) useful they-learn but rather so-that not
διδάσκαλοι κακοῦ τινος ὑπάρξωσιν. ἅμα γὰρ ξένοις
teachers of-evil some they-might-become together-with for foreign
σώμασιν ἀνάγκη λόγους ἐπεισιέναι ξένους· λόγοι δὲ καινοὶ
bodies necessary(-is) words to-come-in foreign words and new
κρίσεις καινὰς ἐπιφέρουσιν. ἐξ ὧν ἀνάγκη πάθη πολλὰ
judgments new bring from which necessary(-is) passions many
φύεσθαι καὶ προαιρέσεις ἀπᾳδούσας πρὸς τὴν καθεστῶσαν
to-grow and choices discordant with the established
πολιτείαν, ὥσπερ ἁρμονίαν. διὸ μᾶλλον ᾠ̓ετο χρῆναι
constitution as-it-were a-harmony wherefore rather he-thought it-necessary
φυλάττειν τὴν πόλιν ὅπως ἠθῶν οὐκ ἀναπλησθήσεται
to-guard the city so-that with-manners not it-will-be-filled
πονηρῶν ἢ σωμάτων νοσερῶν ἔξωθεν ἐπεισιόντων.
bad or with-bodies diseased from-outside coming-in

28 Ἐν μὲν οὖν τούτοις οὐδέν ἐστιν ἀδικίας ἴχνος οὐδὲ
in indeed then these(-things) no is of-injustice trace nor
πλεονεξίας, ἣν ἐγκαλοῦσιν ἔνιοι τοῖς Λυκούργου νόμοις, ὡς
of-greed which charge some to-the of-Lycurgus laws as
ἱκανῶς ἔχουσι πρὸς ἀνδρείαν, ἐνδεῶς δὲ πρὸς δικαιοσύνην.
sufficiently being toward courage deficiently but toward justice
ἡ δὲ καλουμένη κρυπτεία παρ᾽ αὐτοῖς, εἴ γε δὴ τοῦτο
the and so-called krypteia among them if at-least indeed this

τῶν Λυκούργου πολιτευμάτων ἕν ἐστιν, ὡς Ἀριστοτέλης
of-the of-Lycurgus institutions one is as Aristotle
ἱστόρηκε, ταύτην ἂν εἴη καὶ τῷ Πλάτωνι περὶ τῆς
has-recorded this — would-be also — to-Plato about the
πολιτείας καὶ τοῦ ἀνδρὸς ἐνειργασμένη δόξαν. ἦν δὲ τοιαύτη·
constitution and the man having-produced opinion was and such
τῶν νέων οἱ ἄρχοντες διὰ χρόνου τοὺς μάλιστα
of-the young-men the magistrates from-time-to time the(-ones) most
νοῦν ἔχειν δοκοῦντας εἰς τὴν χώραν ἄλλως ἐξέπεμπον,
sense to-have seeming into the country at-random sent-out
ἔχοντας ἐγχειρίδια καὶ τροφὴν ἀναγκαίαν, ἄλλο δὲ οὐδέν·
having daggers and food necessary other but nothing
οἱ δὲ μεθ' ἡμέραν μὲν εἰς ἀσυνδήλους διασπειρόμενοι
they and by day indeed into unfrequented scattering
τόπους, ἀπέκρυπτον ἑαυτοὺς καὶ ἀνεπαύοντο, νύκτωρ δὲ
places bid themselves and rested by-night and
κατιόντες εἰς τὰς ὁδοὺς τῶν εἱλώτων τὸν ἁλισκόμενον
going-down into the roads of-the helots the(-one) being-caught
ἀπέσφαττον. πολλάκις δὲ καὶ τοῖς ἀγροῖς ἐπιπορευόμενοι
they-slaughtered often and also the fields going-through
τοὺς ῥωμαλεωτάτους καὶ κρατίστους αὐτῶν ἀνῄρουν.
the sturdiest and strongest of-them they-killed
ὥσπερ καὶ Θουκυδίδης ἐν τοῖς Πελοποννησιακοῖς ἱστορεῖ
as also Thucydides in the Peloponnesian(-histories) records
τοὺς ἐπ' ἀνδρείᾳ προκριθέντας ὑπὸ τῶν Σπαρτιατῶν
the(-ones) for courage chosen by the Spartans
στεφανώσασθαι μὲν ὡς ἐλευθέρους γεγονότας καὶ
to-have-crowned-themselves indeed as free having-become and
περιελθεῖν τὰ τῶν θεῶν ἱερά, μικρὸν δὲ ὕστερον
to-have-gone-around the of-the gods temples little and later
ἅπαντας ἀφανεῖς γενέσθαι, πλείονας ἢ δισχιλίους ὄντας,
all vanished to-have-become more than two-thousand being

ὡς μήτε παραχρῆμα μήτε ὕστερον ἔχειν τινὰ λέγειν ὅτῳ
so-that neither at-once nor later to-have anyone to-say in-what
τρόπῳ διεφθάρησαν. Ἀριστοτέλης δὲ μάλιστά φησι καὶ
manner they-were-destroyed Aristotle and especially says also
τοὺς ἐφόρους, ὅταν εἰς τὴν ἀρχὴν καταστῶσι πρῶτον, τοῖς
the ephors when into the office they-are-installed first to-the
εἵλωσι καταγγέλλειν πόλεμον, ὅπως εὐαγὲς ᾖ τὸ ἀνελεῖν.
helots to-declare war so-that pure it-be the to-kill(-them)
Καὶ τἆλλα δὲ τραχέως προσεφέροντο καὶ σκληρῶς
and in-the-other(-things) and roughly they-dealt and harshly
αὐτοῖς, ὥστε καὶ πίνειν ἀναγκάζοντες πολὺν ἄκρατον
with-them so-that also to-drink compelling much unmixed(-wine)
εἰς τὰ συσσίτια παρεισῆγον, ἐπιδεικνύμενοι τὸ μεθύειν
into the common-meals they-brought(-them)-in showing the to-be-drunk
οἷόν ἐστι τοῖς νέοις. καὶ ᾠδὰς ἐκέλευον ᾄδειν καὶ
what-sort it-is to-the young-men and songs they-ordered to-sing and
χορείας χορεύειν ἀγεννεῖς καὶ καταγελάστους, ἀπέχεσθαι
dances to-dance ignoble and ridiculous to-abstain
δὲ τῶν ἐλευθέρων. διὸ καί φασιν ὕστερον ἐν τῇ
but from-the(-ones) of-free(-men) wherefore also they-say later in the
Θηβαίων εἰς τὴν Λακωνικὴν στρατείᾳ τοὺς ἁλισκομένους
of-Thebans into the Laconian(-land) campaign the captured
εἵλωτας κελευομένους ᾄδειν τὰ Τερπάνδρου καὶ
helots being-ordered to-sing the(-songs) of-Terpander and
Ἀλκμᾶνος καὶ Σπένδοντος τοῦ Λάκωνος παραιτεῖσθαι,
of-Alcman and of-Spendon the Laconian to-have-begged-off
φάσκοντας οὐκ ἐθέλειν τοὺς δεσποσύνους. ὥστε τοὺς
saying not to-be-willing the masters' so-that those
λέγοντας, ἐν Λακεδαίμονι καὶ τὸν ἐλεύθερον μάλιστα
saying in Lacedaemon both the free(-man) most
ἐλεύθερον εἶναι καὶ τὸν δοῦλον μάλιστα δοῦλον, οὐ
free to-be and the slave most slave not

φαύλως τεθεωρηκέναι τὴν διαφοράν. τὰς μὲν οὖν τοιαύτας
badly to-have-observed the difference the indeed then such
χαλεπότητας ὕστερον ἐγγενέσθαι τοῖς Σπαρτιάταις
cruelties later to-have-arisen among-the Spartans
νομίζω, μάλιστα μετὰ τὸν μέγαν σεισμόν, ᾧ
I-think especially after the great earthquake in-which
συνεπιθέσθαι τοὺς εἵλωτας μετὰ Μεσσηνίων ἱστοροῦσι,
to-have-attacked-together the helots with Messenians they-record
καὶ πλεῖστα κακὰ τὴν χώραν ἐργάσασθαι καὶ μέγιστον τῇ
and very-many evils the country to-have-wrought and greatest to-the
πόλει περιστῆσαι κίνδυνον. οὐ γὰρ ἂν ἔγωγε προσθείην
city to-have-brought-round danger not for — I-at-least would-ascribe
Λυκούργῳ μιαρὸν οὕτω τῆς κρυπτείας ἔργον ἀπὸ τῆς
to-Lycurgus foul so of-the krypteia a-deed from the
ἄλλης αὐτοῦ πρᾳότητος καὶ δικαιοσύνης τεκμαιρόμενος
other his gentleness and justice judging
τὸν τρόπον, ᾧ καὶ τὸ δαιμόνιον ἐπεμαρτύρησε.
the character to-which also the divine bore-witness

VIII · THE LAWGIVER'S END

Lycurgus binds the citizens by oath to keep his laws until he returns from Delphi. The god approves his laws, and he starves himself to death so that they will never be released from the oath. Sparta keeps them for five hundred years, until Lysander brings home gold and silver; before then a single envoy could settle Greece's quarrels. Plato, Diogenes, and Zeno wrote of such a state; Lycurgus made one. He receives a shrine and sacrifices, and his ashes, some say, were scattered at sea.

Κατειλημμένων δὲ τοῖς ἐθισμοῖς ἤδη τῶν 29
having-been-taken-hold-of and by-the habits already the
κυριωτάτων ὑπ᾽ αὐτοῦ, καὶ τῆς πολιτείας
most-important(-institutions) by him and the constitution

ἐκτεθραμμένης ἱκανῶς καὶ δυναμένης φέρειν ἑαυτὴν καὶ
having-been-reared sufficiently and being-able to-carry itself and
σώζειν δι᾽ ἑαυτῆς, ὥσπερ ὁ Πλάτων φησὶν ἐπὶ
to-preserve(-itself) through itself as — Plato says at
τῷ κόσμῳ γενομένῳ καὶ κινηθέντι τὴν πρώτην κίνησιν
the universe having-come-to-be and set-in-motion the first motion
εὐφρανθῆναι τὸν θεόν, οὕτως ἀγασθεὶς καὶ ἀγαπήσας τὸ
to-have-rejoiced the god so having-admired and having-loved the
τῆς νομοθεσίας κάλλος καὶ μέγεθος ἐν ἔργῳ γενομένης
of-the legislation beauty and greatness in operation having-come
καὶ ὁδῷ βαδιζούσης, ἐπεθύμησεν, ὡς ἀνυστὸν ἐξ
and on-the-road going he-desired as-far-as possible from
ἀνθρωπίνης προνοίας, ἀθάνατον αὐτὴν ἀπολιπεῖν καὶ
human foresight immortal it to-leave and
ἀκίνητον εἰς τὸ μέλλον. συναγαγὼν οὖν ἅπαντας εἰς
unmoved into the future having-gathered then all into
ἐκκλησίαν, τὰ μὲν ἄλλα μετρίως ἔχειν ἔφη καὶ
assembly the indeed other-things moderately to-be he-said and
ἱκανῶς πρὸς εὐδαιμονίαν καὶ ἀρετὴν τῆς πόλεως, ὃ δὲ
sufficiently for happiness and virtue of-the city what but
κυριώτατόν ἐστι καὶ μέγιστον οὐκ ἂν ἐξενεγκεῖν πρότερον
most-important is and greatest not — to-bring(-it)-forth before
πρὸς αὐτοὺς ἢ χρήσασθαι τῷ θεῷ. δεῖν οὖν ἐκείνους
to them than to-consult the god it-needful then them
ἐμμένειν τοῖς καθεστῶσι νόμοις καὶ μηδὲν ἀλλάσσειν μηδὲ
to-abide-by the established laws and nothing to-change nor
μετακινεῖν ἕως ἐπάνεισιν ἐκ Δελφῶν αὐτός· ἐπανελθὼν
to-move until he-returns from Delphi himself having-returned
γὰρ ὅ τι ἂν τῷ θεῷ δοκῇ ποιήσειν. ὁμολογούντων
for what ever — to-the god should-seem-good he-would-do agreeing
δὲ πάντων καὶ κελευόντων βαδίζειν, ὅρκους λαβὼν παρὰ
and all and bidding(-him) to-go oaths having-taken from

τῶν βασιλέων καὶ τῶν γερόντων, ἔπειτα παρὰ τῶν ἄλλων
the kings and the elders then from the other
πολιτῶν, ἐμμενεῖν καὶ χρήσεσθαι τῇ καθεστώσῃ πολιτείᾳ
citizens to-abide and to-use the established constitution
μέχρις ἂν ἐπανέλθῃ ὁ Λυκοῦργος, ἀπῆρεν εἰς Δελφούς.
until — should-return — Lycurgus he-departed to Delphi
Παραγενόμενος δὲ πρὸς τὸ μαντεῖον καὶ τῷ θεῷ θύσας,
having-arrived and at the oracle and to-the god having-sacrificed
ἠρώτησεν εἰ καλῶς οἱ νόμοι καὶ ἱκανῶς πρὸς εὐδαιμονίαν
he-asked whether well the laws and sufficiently for happiness
καὶ ἀρετὴν πόλεως κείμενοι τυγχάνουσιν. ἀποκριναμένου δὲ
and virtue of-a-city laid-down happen(-to-be) having-answered and
τοῦ θεοῦ καὶ τοὺς νόμους καλῶς κεῖσθαι καὶ τὴν πόλιν
the god both the laws well to-be-laid-down and the city
ἐνδοξοτάτην διαμενεῖν τῇ Λυκούργου χρωμένην πολιτείᾳ, τὸ
most-glorious to-continue the of-Lycurgus using constitution the
μάντευμα γραψάμενος εἰς Σπάρτην ἀπέστειλεν. αὐτὸς δὲ
oracle having-written-down to Sparta he-sent himself and
τῷ θεῷ πάλιν θύσας καὶ τοὺς φίλους ἀσπασάμενος καὶ
to-the god again having-sacrificed and the friends having-embraced and
τὸν υἱόν, ἔγνω μηκέτι τοῖς πολίταις ἀφεῖναι τὸν ὅρκον,
the son he-resolved no-longer the citizens to-release-from the oath
αὐτοῦ δὲ καταλῦσαι τὸν βίον ἑκουσίως, ἡλικίας γεγονὼς ἐν
there but to-end the life voluntarily of-an-age having-become at
ᾗ καὶ βιοῦν ἔτι καὶ πεπαῦσθαι βουλομένοις ὡραῖόν ἐστι,
which both to-live still and to-have-ceased for-those-wishing seasonable it-is
καὶ τῶν περὶ αὐτὸν ἱκανῶς πρὸς εὐδαιμονίαν ἔχειν
and of-the(-things) about him sufficiently for happiness to-be
δοκούντων. ἐτελεύτησεν οὖν ἀποκαρτερήσας, ἡγούμενος
seeming he-died then having-starved-himself thinking
χρῆναι τῶν πολιτικῶν ἀνδρῶν μηδὲ τὸν θάνατον
it-necessary of-the political men not-even the death

ἀπολίτευτον εἶναι μηδὲ ἀργὸν τὸ τοῦ βίου τέλος, ἀλλ'
unpolitical to-be nor idle the of-the life end but
ἐν ἀρετῆς μερίδι καὶ πράξεως γενόμενον. αὑτῷ τε γὰρ
in of-virtue portion and of-action having-come to-himself both for
ἐξειργασμένῳ τὰ κάλλιστα τὴν τελευτὴν ὡς ἀληθῶς
having-accomplished the noblest(-things) the death as truly
ἐπιτελείωσιν εἶναι τῆς εὐδαιμονίας, καὶ τοῖς πολίταις
a-completion to-be of-the happiness and to-the citizens
ὧν διὰ τοῦ βίου παρεσκεύασε καλῶν καὶ ἀγαθῶν
of-which through the life he-provided noble and good(-things)
φύλακα τὸν θάνατον ἀπολείψειν, ὀμωμοκόσι χρῆσθαι τῇ
a-guardian the death to-leave having-sworn to-use the
πολιτείᾳ μέχρις ἂν ἐκεῖνος ἐπανέλθῃ. καὶ οὐ διεψεύσθη τῶν
constitution until — he should-return and not he-was-deceived in-the
λογισμῶν· τοσοῦτον ἐπρώτευσεν ἡ πόλις τῆς Ἑλλάδος
calculations so-much was-first the city — of-Greece
εὐνομίᾳ καὶ δόξῃ, χρόνον ἐτῶν πεντακοσίων τοῖς
in-good-order and in-reputation for-a-time of-years five-hundred the
Λυκούργου χρησαμένη νόμοις, οὓς δεκατεσσάρων βασιλέων
of-Lycurgus having-used laws which of-fourteen kings
μετ' ἐκεῖνον εἰς Ἄγιν τὸν Ἀρχιδάμου γενομένων οὐδεὶς
after him to Agis the son-of-Archidamus having-been no-one
ἐκίνησεν. ἡ γὰρ τῶν ἐφόρων κατάστασις οὐκ ἄνεσις
moved the for of-the ephors institution not a-relaxation
ἦν, ἀλλ' ἐπίτασις τῆς πολιτείας, καὶ δοκοῦσα πρὸς τοῦ
was but a-tightening of-the constitution and seeming for the
δήμου γεγονέναι σφοδροτέραν ἐποίησε τὴν ἀριστοκρατίαν.
people to-have-been more-vehement made the aristocracy
30 Ἄγιδος δὲ βασιλεύοντος εἰσερρύη νόμισμα πρῶτον εἰς τὴν
Agis and reigning flowed-in money first into —
Σπάρτην, καὶ μετὰ τοῦ νομίσματος πλεονεξία καὶ πλούτου
Sparta and with the money greed and of-wealth

ζῆλος ἐπέβη διὰ Λύσανδρον, ὃς αὐτὸς ὢν ἀνάλωτος
emulation came-in because-of Lysander who himself being uncaptured
ὑπὸ χρημάτων, ἐνέπλησε τὴν πατρίδα φιλοπλουτίας καὶ
by money filled the fatherland with-love-of-wealth and
τρυφῆς, χρυσὸν καὶ ἄργυρον ἐκ τοῦ πολέμου καταγαγὼν
with-luxury gold and silver from the war having-brought-home
καὶ τοὺς Λυκούργου καταπολιτευσάμενος νόμους. ὧν
and the of-Lycurgus having-overthrown laws which
ἐπικρατούντων πρότερον οὐ πόλεως ἡ Σπάρτη πολιτείαν,
prevailing formerly not of-a-city — Sparta a-constitution
ἀλλ' ἀνδρὸς ἀσκητοῦ καὶ σοφοῦ βίον ἔχουσα, μᾶλλον δ',
but of-a-man in-training and wise a-life having rather but
ὥσπερ οἱ ποιηταὶ τὸν Ἡρακλέα μυθολογοῦσι δέρμα καὶ
as the poets — Heracles tell-in-myth a-skin and
ξύλον ἔχοντα τὴν οἰκουμένην ἐπιπορεύεσθαι, κολάζοντα
a-club having the inhabited(-world) to-go-over punishing
τοὺς παρανόμους καὶ θηριώδεις τυράννους, οὕτως ἡ πόλις
the lawless and savage tyrants so the city
ἀπὸ σκυτάλης μιᾶς καὶ τρίβωνος ἄρχουσα τῆς Ἑλλάδος
from a-staff one and a-cloak ruling — Greece
ἑκούσης καὶ βουλομένης, κατέλυε τὰς ἀδίκους δυναστείας
willing and wishing dissolved the unjust dynasties
καὶ τυραννίδας ἐν τοῖς πολιτεύμασι, καὶ πολέμους ἐβράβευε
and tyrannies in the states and wars arbitrated
καὶ στάσεις κατέπαυε, πολλάκις οὐδ' ἀσπίδα κινήσασα
and factions stopped often not-even a-shield having-moved
μίαν, ἀλλ' ἕνα πέμψασα πρεσβευτήν, ᾧ πάντες εὐθὺς
one but one having-sent ambassador to-whom all at-once
ἐποίουν τὸ προστασσόμενον, ὥσπερ αἱ μέλισσαι

φανέντος ἡγεμόνος, συντρέχοντες καὶ κατακοσμούμενοι.
having-appeared the-leader running-together and arranging-themselves
τοσοῦτον περιῆν εὐνομίας τῇ πόλει καὶ δικαιοσύνης.
so-much abounded of-good-order in-the city and of-justice
Ὅθεν ἔγωγε θαυμάζω τῶν λεγόντων ὡς ἄρχεσθαι
whence I-at-least wonder at-those saying that to-be-ruled
μὲν ἤδεσαν, ἄρχειν δὲ οὐκ ἠπίσταντο Λακεδαιμόνιοι,
indeed they-knew to-rule but not they-understood Lacedaemonians
καὶ τὸν Θεοπόμπου τοῦ βασιλέως ἐπαινούντων λόγον,
and the of-Theopompus the king praising saying
ὅς, εἰπόντος τινὸς σώζεσθαι τὴν Σπάρτην διὰ τοὺς
who having-said someone to-be-preserved — Sparta because-of the
βασιλεῖς ἀρχικοὺς γεγονότας, "Μᾶλλον," εἶπε, "διὰ τοὺς
kings fit-to-rule having-been rather he-said because-of the
πολίτας πειθαρχικοὺς ὄντας·" οὐ γὰρ ἀκούειν ὑπομένουσι
citizens obedient being not for to-listen they-endure
τῶν προστατεῖν μὴ δυναμένων, ἀλλ' ἡ πειθαρχία
to-those to-lead not being-able but the obedience
μάθημα μέν ἐστιν τοῦ ἄρχοντος (ἐμποιεῖ γὰρ ὁ
a-lesson indeed is of-the ruler produces for the(-one)
καλῶς ἄγων τὸ καλῶς ἕπεσθαι· καὶ καθάπερ ἱππικῆς
well leading the well to-follow and as of-the-horseman's
τέχνης ἀποτέλεσμα πρᾷον ἵππον καὶ πειθήνιον παρασχεῖν,
art the-result a-gentle horse and obedient to-furnish
οὕτω βασιλικῆς ἐπιστήμης ἔργον ἀνθρώποις εὐπείθειαν
so of-the-kingly science the-work in-men obedience
ἐνεργάσασθαι), Λακεδαιμόνιοι δὲ οὐκ εὐπείθειαν, ἀλλ'
to-produce Lacedaemonians and not obedience but
ἐπιθυμίαν ἐνειργάζοντο τοῖς ἄλλοις τοῦ ἄρχεσθαι καὶ
desire produced in-the others of-the to-be-ruled and
ὑπακούειν αὐτοῖς. ἤτουν γὰρ οὐ ναῦς οὐδὲ χρήματα παρ'
to-obey them they-asked for not ships nor money from

αὐτῶν οὐδὲ ὁπλίτας πέμποντες, ἀλλὰ ἕνα Σπαρτιάτην
them nor hoplites sending but one Spartan
ἡγεμόνα· καὶ λαβόντες ἐχρῶντο μετὰ τιμῆς καὶ
commander and having-received(-him) they-used(-him) with honor and
δέους, ὥσπερ Γυλίππῳ Σικελιῶται καὶ Βρασίδᾳ Χαλκιδεῖς,
awe as Gylippus the-Sicilian-Greeks and Brasidas Chalcidians
Λυσάνδρῳ δὲ καὶ Καλλικρατίδᾳ καὶ Ἀγησιλάῳ πάντες οἱ
Lysander and and Callicratidas and Agesilaus all the(-ones)
τὴν Ἀσίαν οἰκοῦντες Ἕλληνες, τοὺς μὲν ἄνδρας ἁρμοστὰς
— Asia inhabiting Greeks the indeed men harmosts
καὶ σωφρονιστὰς τῶν ἑκασταχοῦ δήμων καὶ ἀρχόντων
and chasteners of-the everywhere peoples and rulers
ὀνομάζοντες, πρὸς δὲ σύμπασαν τὴν τῶν Σπαρτιατῶν
naming to and all the of-the Spartans
πόλιν ὥσπερ παιδαγωγὸν ἢ διδάσκαλον εὐσχήμονος βίου
city as a-tutor or a-teacher of-decorous life
καὶ τεταγμένης πολιτείας ἀποβλέποντες. εἰς ὃ καὶ
and ordered constitution looking at which also
Στρατόνικος ἐπισκῶψαι δοκεῖ, μετὰ παιδιᾶς νομοθετῶν
Stratonicus to-have-jested seems with playfulness legislating
καὶ κελεύων Ἀθηναίους ἄγειν μυστήρια καὶ πομπάς,
and bidding Athenians to-conduct mysteries and processions
Ἠλείους δὲ ἀγωνοθετεῖν, ὡς κάλλιστα τοῦτο ποιοῦντας,
Eleans and to-preside-over-games as best this doing
Λακεδαιμονίους δέ, ἂν ἁμαρτάνωσιν οὗτοι, δέρεσθαι. καὶ
Lacedaemonians and if do-wrong these(-men) to-be-flogged and
τοῦτο μὲν εἴρηται χάριν τοῦ γελοίου· Ἀντισθένης δὲ
this indeed has-been-said for-the-sake-of the laughter Antisthenes and
ὁ Σωκρατικὸς ἀπὸ τῆς ἐν Λεύκτροις μάχης ὁρῶν τοὺς
the Socratic from the at Leuctra battle seeing the

Θηβαίους μέγα φρονοῦντας, οὐδὲν αὐτοὺς ἔφη διαφέρειν
Thebans greatly priding-themselves nothing them he-said to-differ
παιδαρίων ἐπὶ τῷ συγκόψαι τὸν παιδαγωγὸν γαυριώντων.
from-little-boys at the to-have-beaten the tutor exulting
31 Οὐ μὴν τοῦτό γε τῷ Λυκούργῳ κεφάλαιον ἦν τότε,
not indeed this at-least — for-Lycurgus the-chief-aim was then
πλείστων ἡγουμένην ἀπολιπεῖν τὴν πόλιν· ἀλλ' ὥσπερ
over-most ruling to-leave the city but as
ἑνὸς ἀνδρὸς βίῳ καὶ πόλεως ὅλης νομίζων εὐδαιμονίαν
of-one man in-the-life also of-a-city whole thinking happiness
ἀπ' ἀρετῆς ἐγγίνεσθαι καὶ ὁμονοίας τῆς πρὸς αὑτήν,
from virtue to-arise and concord the with itself
πρὸς τοῦτο συνέταξε καὶ συνήρμοσεν, ὅπως ἐλευθέριοι καὶ
toward this he-arranged and fitted(-it) so-that free and
αὐτάρκεις γενόμενοι καὶ σωφρονοῦντες ἐπὶ πλεῖστον χρόνον
self-sufficient having-become and self-controlled for the-longest time
διατελῶσι. ταύτην καὶ Πλάτων ἔλαβε τῆς πολιτείας
they-might-continue this also Plato took of-the constitution
ὑπόθεσιν καὶ Διογένης καὶ Ζήνων καὶ πάντες ὅσοι τι
as-a-basis and Diogenes and Zeno and all as-many-as anything
περὶ τούτων ἐπιχειρήσαντες εἰπεῖν ἐπαινοῦνται, γράμματα
about these having-attempted to-say are-praised writings
καὶ λόγους ἀπολιπόντες μόνον. ὁ δὲ οὐ γράμματα
and words having-left only he but not writings
καὶ λόγους, ἀλλ' ἔργῳ πολιτείαν ἀμίμητον εἰς φῶς
and words but in-deed a-constitution inimitable into light
προενεγκάμενος, καὶ τοῖς ἀνύπαρκτον εἶναι τὴν λεγομένην
having-brought-forth and to-those nonexistent to-be the said
περὶ τὸν σοφὸν διάθεσιν ὑπολαμβάνουσιν ἐπιδείξας ὅλην
about the wise-man disposition supposing having-shown whole
τὴν πόλιν φιλοσοφοῦσαν, εἰκότως ὑπερῆρε τῇ δόξῃ
the city philosophizing reasonably surpassed in-the glory

τοὺς πώποτε πολιτευσαμένους ἐν τοῖς Ἕλλησι. δι᾽
those ever having-been-statesmen among the Greeks because-of
ὅπερ καὶ Ἀριστοτέλης ἐλάττονας σχεῖν φησι τιμὰς ἢ
which also Aristotle fewer to-have-had says honors than
προσῆκον ἦν αὐτὸν ἔχειν ἐν Λακεδαίμονι, καίπερ ἔχοντα
fitting it-was him to-have in Lacedaemon although having
τὰς μεγίστας. ἱερόν τε γάρ ἐστιν αὐτοῦ, καὶ θύουσι
the greatest a-temple both for is his and they-sacrifice
καθ᾽ ἕκαστον ἐνιαυτὸν ὡς θεῷ. λέγεται δὲ καὶ τῶν
by each year as to-a-god it-is-said and also the
λειψάνων αὐτοῦ κομισθέντων οἴκαδε κεραυνὸν εἰς τὸν
remains his having-been-brought home a-thunderbolt into the
τάφον κατασκῆψαι· τοῦτο δὲ οὐ ῥᾳδίως ἑτέρῳ τινὶ τῶν
tomb to-have-struck this and not easily to-other any of-the
ἐπιφανῶν πλὴν Εὐριπίδῃ συμπεσεῖν ὕστερον, τελευτήσαντι
illustrious(-men) except to-Euripides to-have-befallen later having-died
καὶ ταφέντι τῆς Μακεδονίας περὶ Ἀρέθουσαν. ὥστε
and having-been-buried — of-Macedonia near Arethusa so-that
ἀπολόγημα καὶ μαρτύριον μέγα εἶναι τοῖς ἀγαπῶσι τὸν
a-defense and testimony great to-be for-those loving —
Εὐριπίδην τὸ μόνῳ συμπεσεῖν αὐτῷ μετὰ τελευτὴν ἃ
Euripides the(-fact) alone to-have-befallen to-him after death what
τῷ θεοφιλεστάτῳ καὶ ὁσιωτάτῳ πρότερον συνέπεσε.
to-the most-god-beloved and holiest(-man) before befell
Τελευτῆσαι δὲ τὸν Λυκοῦργον οἱ μὲν ἐν Κίρρᾳ
to-have-died and — Lycurgus the(-ones) indeed in Cirrha
λέγουσιν, Ἀπολλόθεμις δὲ εἰς Ἦλιν κομισθέντα, Τίμαιος
say Apollothemis and to Elis having-been-brought Timaeus
δὲ καὶ Ἀριστόξενος ἐν Κρήτῃ καταβιώσαντα· καὶ τάφον
and and Aristoxenus in Crete having-ended-his-life and a-tomb
Ἀριστόξενος αὐτοῦ δείκνυσθαί φησιν ὑπὸ Κρητῶν τῆς
Aristoxenus his to-be-shown says by Cretans —

Περγαμίας περὶ τὴν ξενικὴν ὁδόν. υἱὸν δὲ λέγεται
of-Pergamia near the strangers' road a-son and it-is-said
μονογενῆ καταλιπεῖν Ἀντίωρον· οὗ τελευτήσαντος ἀτέκνου
only-begotten to-have-left Antiorus who having-died childless
τὸ γένος ἐξέλιπεν. οἱ δ' ἑταῖροι καὶ οἰκεῖοι διαδοχήν τινα
the family died-out the and companions and intimates a-succession some
καὶ σύνοδον ἐπὶ πολλοὺς χρόνους διαμείνασαν κατέστησαν,
and association for many times lasting established
καὶ τὰς ἡμέρας ἐν αἷς συνήρχοντο Λυκουργίδας
and the days in which they-met Lycurgidae
προσηγόρευσαν. Ἀριστοκράτης δὲ ὁ Ἱππάρχου φησὶ τοὺς
they-called Aristocrates and the son-of-Hipparchus says the
ξένους τοῦ Λυκούργου τελευτήσαντος ἐν Κρήτῃ καῦσαι
hosts — of-Lycurgus having-died in Crete to-have-burned
τὸ σῶμα καὶ διασπεῖραι τὴν τέφραν εἰς τὴν θάλατταν,
the body and to-have-scattered the ash into the sea
αὐτοῦ δεηθέντος καὶ φυλαξαμένου μή ποτε ἄρα τῶν
him having-asked and having-taken-precaution lest ever then the
λειψάνων εἰς Λακεδαίμονα κομισθέντων, ὡς ἐπανήκοντος
remains to Lacedaemon having-been-brought as returning
αὐτοῦ καὶ τῶν ὅρκων λελυμένων, μεταβάλωσι τὴν
him and the oaths having-been-released they-should-change the
πολιτείαν. ταῦτα μὲν οὖν περὶ τοῦ Λυκούργου.
constitution these-things indeed then about — Lycurgus

PLUTARCH

ΝΟΜΑΣ

Numa

Plutarch notes the disputes over Numa's date and whether Pythagoras taught him. After Romulus vanishes in a storm, Romans and Sabines quarrel over the next king, and the patricians rule in turn as interreges, until the people suspect an oligarchy. The two factions agree that each shall choose a king from the other; the Sabines leave the choice to the Romans, who choose a Sabine, Numa Pompilius of Cures, a man of self-discipline and piety who married Tatius' daughter and, after her death, lived alone in the groves. The tale of the nymph Egeria leads Plutarch to ask whether gods consort with men.

Ἔστι δὲ καὶ περὶ τῶν Νομᾶ τοῦ βασιλέως χρόνων, 1
there-is and also about the of-Numa the king times
καθ' οὓς γέγονε, νεανικὴ διαφορά, καίπερ ἐξ ἀρχῆς εἰς
in which he-lived a-vigorous dispute although from beginning to
τοῦτον κατάγεσθαι τῶν στεμμάτων ἀκριβῶς δοκούντων.
this(-man) to-be-traced the genealogies accurately seeming
ἀλλὰ Κλώδιός τις ἐν ἐλέγχῳ χρόνων (οὕτω γάρ
but Clodius a-certain in an-examination of-chronology so for
πως ἐπιγέγραπται τὸ βιβλίον) ἰσχυρίζεται τὰς μὲν
somehow is-entitled the book insists the indeed
ἀρχαίας ἐκείνας ἀναγραφὰς ἐν τοῖς Κελτικοῖς πάθεσι
ancient those records in the Celtic disasters
τῆς πόλεως ἠφανίσθαι, τὰς δὲ νῦν φαινομένας οὐκ
of-the city to-have-been-destroyed the but now appearing not
ἀληθῶς συγκεῖσθαι δι' ἀνδρῶν χαριζομένων τισὶν
truly to-have-been-composed by men gratifying some(-people)
εἰς τὰ πρῶτα γένη καὶ τοὺς ἐπιφανεστάτους οἴκους ἐξ
into the first families and the most-illustrious houses from
οὐ προσηκόντων εἰσβιαζομένοις. λεγομένου δ' οὖν ὡς
not belonging forcing-their-way it-being-said and then that
Νομᾶς γένοιτο Πυθαγόρου συνήθης, οἱ μὲν ὅλως
Numa became of-Pythagoras an-intimate the(-ones) indeed altogether

ἀξιοῦσι μηδὲν Ἑλληνικῆς παιδεύσεως Νομᾷ μετεῖναι,
think-fit nothing of-Greek education to-Numa to-belong
καθάπερ ἢ φύσει δυνατὸν καὶ αὐτάρκη γενέσθαι πρὸς
as-if either by-nature possible and self-sufficient to-have-been for
ἀρετὴν ἢ βελτίονι Πυθαγόρου βαρβάρῳ τινὶ τὴν τοῦ
virtue or to-a-better than-Pythagoras barbarian some the of-the
βασιλέως ἀποδοῦναι παίδευσιν· οἱ δὲ Πυθαγόραν
king to-ascribe education the(-others) and Pythagoras
μὲν ὀψὲ γενέσθαι, τῶν Νομᾶ χρόνων ὁμοῦ τι πέντε
indeed late to-have-lived than-the of-Numa times about some five
γενεαῖς ἀπολειπόμενον, Πυθαγόραν δὲ τὸν Σπαρτιάτην
by-generations falling-short Pythagoras and the Spartan
Ὀλύμπια νενικηκότα στάδιον ἐπὶ τῆς ἑκκαιδεκάτης
the-Olympic(-games) having-won in-the-stadium-race in the sixteenth
Ὀλυμπιάδος, ἧς ἔτει τρίτῳ Νομᾶς εἰς τὴν βασιλείαν
Olympiad in-whose year third Numa into the kingship
κατέστη, πλανηθέντα περὶ τὴν Ἰταλίαν συγγενέσθαι τῷ
was-installed having-wandered about — Italy to-have-associated —
Νομᾷ καὶ συνδιακοσμῆσαι τὴν πολιτείαν, ὅθεν οὐκ ὀλίγα
with-Numa and to-have-helped-arrange the constitution whence not few
τοῖς Ῥωμαϊκοῖς ἐπιτηδεύμασι τῶν Λακωνικῶν ἀναμεμῖχθαι
with-the Roman customs of-the Laconian(-ones) to-have-been-mixed
Πυθαγόρου διδάξαντος. ἄλλως δὲ Νομᾶς γένος μὲν ἦν
Pythagoras having-taught(-them) otherwise and Numa by-race indeed was
ἐκ Σαβίνων, Σαβῖνοι δὲ βούλονται Λακεδαιμονίων ἑαυτοὺς
from Sabines Sabines and would-have-it of-Lacedaemonians themselves
ἀποίκους γεγονέναι. τοὺς μὲν οὖν χρόνους ἐξακριβῶσαι
colonists to-have-been the indeed then times to-determine-exactly
χαλεπόν ἐστι, καὶ μάλιστα τοὺς ἐκ τῶν Ὀλυμπιονικῶν
difficult is and especially those from the Olympic-victors
ἀναγομένους, ὧν τὴν ἀναγραφὴν ὀψέ φασιν Ἱππίαν
traced whose the list late they-say Hippias

ἐκδοῦναι τὸν Ἠλεῖον, ἀπ᾽ οὐδενὸς ὁρμώμενον ἀναγκαίου
to-have-published the Elean from no(-thing) starting compelling
πρὸς πίστιν· ἃ δὲ παρειλήφαμεν ἡμεῖς ἄξια λόγου περὶ
toward belief what but have-received we worthy of-mention about
Νομᾶ, διέξιμεν ἀρχὴν οἰκείαν λαβόντες.
Numa we-shall-relate a-starting-point fitting having-taken
Ἔβδομον ἐνιαυτὸν ἡ Ῥώμη καὶ τριακοστὸν ἤδη Ῥωμύλου 2
seventh year — Rome and thirtieth already Romulus
βασιλεύοντος ᾠκεῖτο· πέμπτῃ δὲ ἱσταμένου μηνός,
reigning was-being-inhabited on-the-fifth and of-the-beginning month
ἣν νῦν ἡμέραν νώνας Καπρατίνας καλοῦσι, θυσίαν τινὰ
which now day nonae Capratinae they-call a-sacrifice some
δημοτελῆ πρὸ τῆς πόλεως ὁ Ῥωμύλος ἔθυε περὶ
public before the city — Romulus was-offering near
τὸ καλούμενον Αἰγὸς ἕλος, καὶ παρῆν ἥ τε βουλὴ
the so-called Goat's marsh and was-present the both senate
καὶ τοῦ δήμου τὸ πλεῖστον. ἐξαίφνης δὲ μεγάλης περὶ
and of-the people the most suddenly and great about
τὸν ἀέρα τροπῆς γενομένης καὶ νέφους ἐπὶ τὴν γῆν
the air change having-happened and a-cloud on the earth
ἐρείσαντος ἅμα πνεύματι καὶ ζάλῃ, τὸν μὲν ἄλλον
having-settled together-with wind and storm the indeed other
ὅμιλον ἐκπλαγέντα συνέβη φυγεῖν καὶ σκεδασθῆναι, τὸν
crowd panic-stricken it-happened to-flee and to-be-scattered —
δὲ Ῥωμύλον ἀφανῆ γενέσθαι, καὶ μήτε αὐτὸν ἔτι μήτε
but Romulus invisible to-become and neither himself any-longer nor
σῶμα τεθνηκότος εὑρεθῆναι, χαλεπὴν δὲ τιν᾽ ὑπόνοιαν
body of-him-dead to-be-found grievous and some suspicion
ἅψασθαι τῶν πατρικίων, καὶ ῥυῆναι λόγον ἐν τῷ
to-have-fastened-on the patricians and to-have-flowed a-story in the
δήμῳ κατ᾽ αὐτῶν ὡς πάλαι βαρυνόμενοι τὸ βασιλεύεσθαι
people against them that long being-oppressed by-the to-be-ruled-by-a-king

καὶ μεταστῆσαι τὸ κράτος εἰς αὐτοὺς θέλοντες ἀνέλοιεν
and to-transfer the power to themselves wishing they-had-killed
τὸν βασιλέα. καὶ γὰρ ἐδόκει τραχύτερον ἤδη προσφέρεσθαι
the king and for he-seemed more-harshly already to-behave
καὶ μοναρχικώτερον αὐτοῖς. ἀλλὰ ταύτην μὲν τὴν
and more-monarchically toward-them but this indeed the
ὑποψίαν ἐθεράπευον εἰς θεῶν τιμὰς ἀνάγοντες ὡς οὐ
suspicion they-soothed to of-gods honors raising(-him) as not
τεθνηκότα τὸν Ῥωμύλον, ἀλλὰ κρείττονος ὄντα μοίρας·
having-died — Romulus but of-a-higher being lot
καὶ Πρόκλος, ἀνὴρ ἐπιφανής, διωμόσατο Ῥωμύλον ἰδεῖν
and Proculus a-man notable swore Romulus to-have-seen
εἰς οὐρανὸν σὺν τοῖς ὅπλοις ἀναφερόμενον, καὶ φωνῆς
into heaven with the arms being-carried-up and a-voice
ἀκοῦσαι κελεύοντος αὐτὸν ὀνομάζεσθαι Κυρῖνον.
to-have-heard bidding himself to-be-called Quirinus
Ἑτέρα δὲ ταραχὴ καὶ στάσις κατελάμβανε τὴν πόλιν
another and confusion and strife seized the city
ὑπὲρ τοῦ μέλλοντος ἀποδειχθήσεσθαι βασιλέως, οὔπω τῶν
about the going to-be-appointed king not-yet the
ἐπηλύδων κομιδῇ τοῖς πρώτοις συγκεκραμένων πολίταις,
newcomers entirely with-the first having-been-blended citizens
ἀλλ' ἔτι τοῦ τε δήμου πολλὰ κυμαίνοντος ἐν ἑαυτῷ καὶ
but still the both people much surging within itself and
τῶν πατρικίων ἐν ὑποψίαις ἐκ τοῦ διαφόρου πρὸς ἀλλήλους
the patricians in suspicions from the difference toward one-another
ὄντων. οὐ μὴν ἀλλὰ βασιλεύεσθαι μὲν ἐδόκει πᾶσιν,
being not indeed but to-be-ruled-by-a-king indeed it-seemed-good to-all
ἤρισαν δὲ καὶ διέστησαν οὐχ ὑπὲρ ἀνδρὸς μόνον, ἀλλὰ καὶ
they-quarreled but and divided not about a-man only but also
γένους, ὁπότερον παρέξει τὸν ἡγεμόνα. καὶ γὰρ οἱ μετὰ
a-race which-of-the-two will-furnish the leader and for those with

Ῥωμύλου πρῶτοι συνοικίσαντες τὴν πόλιν οὐκ ἀνασχετὸν
Romulus first having-founded the city not tolerable
ἐποιοῦντο πόλεως καὶ χώρας τοὺς Σαβίνους μεταλαβόντας
thought(-it) of-city and land the Sabines having-received-a-share
ἄρχειν βιάζεσθαι τῶν ἐπὶ ταῦτα δεξαμένων, καὶ
to-rule to-force those for these-things having-received(-them) and
τοῖς Σαβίνοις ἦν τις εὐγνώμων λόγος, ἐπεὶ Τατίου
to-the Sabines was some reasonable argument since Tatius
τοῦ βασιλέως αὐτῶν ἀποθανόντος οὐκ ἐστασίασαν πρὸς
the king their having-died not they-rebelled against
Ῥωμύλον, ἀλλ᾽ εἴασαν ἄρχειν μόνον, αὖθις ἀξιούντων τὸν
Romulus but allowed(-him) to-rule alone in-turn thinking-it-right the
ἄρχοντα γενέσθαι παρ᾽ αὐτῶν. οὔτε γὰρ ἐκ ταπεινοτέρων
ruler to-come from them neither for from inferior
κρείττοσι προσγενέσθαι, καὶ προσγενόμενοι πλήθει
to-superior to-have-attached-themselves and having-attached-themselves by-numbers
τε ῥῶσαι καὶ προαγαγεῖν εἰς ἀξίωμα πόλεως
both to-have-strengthened and to-have-advanced into dignity of-a-city
ἐκείνους μεθ᾽ ἑαυτῶν. ὑπὲρ μὲν οὖν τούτων ἐστασίαζον.
those(-men) with themselves about indeed then these(-things) they-were-at-strife
Ὅπως δὲ μὴ σύγχυσιν ἐκ τῆς ἀναρχίας ἡ στάσις
so-that and not confusion from the anarchy the strife
ἀπεργάσεται, μετεώρου τοῦ πολιτεύματος ὄντος, ἔταξαν οἱ
should-work-out in-suspense the government being ordained the
πατρίκιοι, πεντήκοντα καὶ ἑκατὸν ὄντων αὐτῶν, ἕκαστον ἐν
patricians fifty and a-hundred being they each in
μέρει τοῖς βασιλικοῖς παρασήμοις κοσμούμενον θύειν τε
turn with-the royal insignia adorned to-sacrifice both
τοῖς θεοῖς τὰ νενομισμένα καὶ χρηματίζειν ἓξ μὲν ὥρας
to-the gods the customary(-offerings) and to-transact-business six indeed hours
τῆς νυκτός, ἓξ δὲ τῆς ἡμέρας. καὶ γὰρ ἡ διανομὴ τῶν
of-the night six and of-the day and for the distribution of-the

καιρῶν ἑκατέρου πρὸς ἰσότητα καλῶς ἔχειν ἐδόκει τοῖς
times of-each toward equality well to-be seemed to-the
ἄρχουσι, καὶ πρὸς τὸν δῆμον ἡ μεταβολὴ τῆς ἐξουσίας
rulers and toward the people the change of-the authority
ἀφαιρεῖν τὸν φθόνον, ὁρῶντα τῆς αὐτῆς ἡμέρας καὶ
to-remove the envy seeing on-the same day and
νυκτὸς τὸν αὐτὸν ἰδιώτην ἐκ βασιλέως γινόμενον. τὸ δὲ
night the same private-citizen from king becoming the and
σχῆμα τοῦτο τῆς ἀρχῆς μεσοβασιλείαν Ῥωμαῖοι καλοῦσιν.
form this of-the government interregnum Romans call
3 Ἀλλὰ καίπερ οὕτω πολιτικῶς καὶ ἀνεπαχθῶς ἀφηγεῖσθαι
but although so constitutionally and inoffensively to-govern
δοκοῦντες, ὑπονοίαις καὶ θορύβοις περιέπιπτον,
seeming into-suspicions and clamors they-fell
ὡς μεθιστάντες εἰς ὀλιγαρχίαν τὰ πράγματα καὶ
as changing into oligarchy the affairs and
διαπαιδαγωγοῦντες ἐν σφίσιν αὐτοῖς τὴν πολιτείαν,
leading-along(-the-people) among them themselves the constitution
βασιλεύεσθαι δὲ οὐκ ἐθέλοιεν. ἐκ τούτου συνέβησαν
to-be-ruled-by-a-king but not they-wished from this agreed
ἀμφότεραι πρὸς ἀλλήλας αἱ στάσεις, ὥστε τὴν ἑτέραν
both with one-another the factions so-that the one
ἐκ τῆς ἑτέρας ἀποδεῖξαι βασιλέα· μάλιστα γὰρ ἂν οὕτως
from the other to-appoint a-king most for — so
ἔν τε τῷ παρόντι παύσασθαι τὴν φιλονεικίαν, καὶ τὸν
in both the present to-cease the rivalry and the(-one)
ἀποδειχθέντα πρὸς ἀμφοτέρους ἴσον γενέσθαι, τοὺς
appointed toward both impartial to-be the(-ones)
μὲν ὡς ἑλομένους ἀγαπῶντα, τοῖς δὲ εὔνουν
indeed as having-chosen(-him) loving to-the(-others) and well-disposed
ὄντα διὰ συγγένειαν. ἐπιτρεψάντων δὲ προτέροις τοῖς
being through kinship having-entrusted and first to-the

Ῥωμαίοις τῶν Σαβίνων τὴν αἵρεσιν, ἔδοξε μᾶλλον
Romans the Sabines the choice it-seemed-good rather
ἑλέσθαι Σαβῖνον αὐτοὺς ἀποδείξαντας ἢ παρασχεῖν
to-choose a-Sabine themselves having-appointed than to-furnish
Ῥωμαῖον ἐκείνων ἑλομένων. καὶ βουλευσάμενοι καθ'
a-Roman those having-chosen and having-deliberated among
ἑαυτοὺς ἀποδεικνύουσιν ἐκ Σαβίνων Νομᾶν Πομπίλιον,
themselves they-appoint from Sabines Numa Pompilius
ἄνδρα τῶν μὲν εἰς Ῥώμην ἀπῳκισμένων οὐ γενόμενον,
a-man of-those indeed to Rome having-migrated not having-become
γνώριμον δ' οὕτω δι' ἀρετὴν ὄντα πᾶσιν ὥστε τῶν
a-known(-one) but so for virtue being to-all so-that than-the(-ones)
ἑλομένων προθυμότερον ὀνομασθέντος αὐτοῦ δέξασθαι
having-chosen more-eagerly having-been-named him to-have-accepted(-him)
τοὺς Σαβίνους. φράσαντες οὖν τῷ δήμῳ τὰ
the Sabines having-declared then to-the people the(-things)
δεδογμένα, πρέσβεις ἐκπέμπουσι πρὸς τὸν ἄνδρα κοινῇ
resolved ambassadors they-send-out to the man jointly
τοὺς πρωτεύοντας ἀπ' ἀμφοτέρων, ἥκειν δεησομένους καὶ
the foremost(-men) from both to-come going-to-beg and
παραλαβεῖν τὴν βασιλείαν.
to-take-over the kingship
Ἦν δὲ πόλεως μὲν ὁ Νομᾶς ἐπιφανοῦς ἐν Σαβίνοις
he-was and of-a-city indeed — Numa notable among Sabines
τῆς Κύρεων, ἀφ' ἧς καὶ Κυρίτας Ῥωμαῖοι σφᾶς αὐτοὺς
— of-Cures from which also Quirites Romans them themselves
ἅμα τοῖς ἀνακραθεῖσι Σαβίνοις προσηγόρευσαν, υἱὸς δὲ
together-with the blended-in Sabines called a-son and
Πόμπωνος, ἀνδρὸς εὐδοκίμου, τεσσάρων ἀδελφῶν νεώτατος·
of-Pompo a-man reputable of-four brothers youngest
ἡμέρᾳ δὲ γεγονὼς κατὰ δή τινα θείαν τύχην ἐν ᾗ
on-a-day and born by indeed some divine chance on which

τὴν Ῥώμην ἔκτισαν οἱ περὶ Ῥωμύλον· αὕτη δέ ἐστι πρὸ
— *Rome founded those about Romulus this and is before*
δεκαμιᾶς καλανδῶν Μαΐων. φύσει δὲ πρὸς πᾶσαν ἀρετὴν
the-eleventh calends of-May by-nature and for all virtue
εὖ κεκραμένος τὸ ἦθος, ἔτι μᾶλλον αὑτὸν ἐξημέρωσε διὰ
well tempered the character still more himself he-tamed through
παιδείας καὶ κακοπαθείας καὶ φιλοσοφίας, οὐ μόνον τὰ
education and hardship and philosophy not only the
λοιδορούμενα πάθη τῆς ψυχῆς, ἀλλὰ καὶ τὴν εὐδοκιμοῦσαν
reviled passions of-the soul but also the esteemed
ἐν τοῖς βαρβάροις βίαν καὶ πλεονεξίαν ἐκποδὼν
among the barbarians violence and greed out-of-the-way
ποιησάμενος, ἀνδρείαν δὲ ἀληθῆ τὴν ὑπὸ λόγου τῶν
having-put courage and true the by reason of-the
ἐπιθυμιῶν ἐν αὑτῷ κάθειρξιν ἡγούμενος. ἐκ δὲ τούτου πᾶσαν
desires in himself confinement thinking from and this all
οἴκοθεν ἅμα τρυφὴν καὶ πολυτέλειαν ἐξελαύνων, παντὶ
from-home at-once luxury and extravagance driving-out to-every
δὲ πολίτῃ καὶ ξένῳ χρῆσθαι παρέχων ἑαυτὸν ἄμεμπτον
and citizen and stranger to-use furnishing himself a-blameless
δικαστὴν καὶ σύμβουλον, αὐτὸς δ' ἑαυτῷ σχολάζοντι
judge and adviser himself and for-himself being-at-leisure
χρώμενος οὐδὲν πρὸς ἡδυπαθείας καὶ πορισμούς, ἀλλὰ
using(-the-time) for-nothing toward pleasures and acquisitions but
θεραπείαν θεῶν καὶ θεωρίαν διὰ λόγου φύσεώς τε
service of-gods and contemplation through reason of-nature both
αὐτῶν καὶ δυνάμεως, ὄνομα μέγα καὶ δόξαν εἶχεν, ὥστε
their and power name great and reputation he-had so-that
καὶ Τάτιον τὸν ἐν Ῥώμῃ συμβασιλεύσαντα Ῥωμύλῳ,
even Tatius the(-man) in Rome having-reigned-jointly with-Romulus
μιᾶς αὐτῷ θυγατρὸς οὔσης Τατίας, ποιήσασθαι γαμβρὸν
one to-him daughter being Tatia to-make son-in-law

ἐκεῖνον. οὐ μὴν ἐπήρθη γε τῷ γάμῳ μετοικίσασθαι
him not indeed was-he-induced at-least by-the marriage to-move
πρὸς τὸν πενθερόν, ἀλλ᾽ αὐτοῦ περιέπων πατέρα γηραιὸν
to the father-in-law but there tending a-father aged
ἐν Σαβίνοις ὑπέμενεν, ἅμα καὶ τῆς Τατίας ἑλομένης
among Sabines he-remained at-once also — Tatia having-chosen
τὴν τοῦ ἀνδρὸς ἰδιωτεύοντος ἡσυχίαν πρὸ τῆς ἐν Ῥώμῃ
the of-the husband living-privately quiet before the in Rome
διὰ τὸν πατέρα τιμῆς καὶ δόξης. αὕτη μὲν οὖν λέγεται
because-of the father honor and reputation she indeed then is-said
τρίτῳ καὶ δεκάτῳ μετὰ τὸν γάμον ἔτει τελευτῆσαι.
in-the-third and tenth after the marriage year to-have-died
Ὁ δὲ Νομᾶς ἐκλείπων τὰς ἐν ἄστει διατριβὰς ἀγραυλεῖν 4
— and Numa leaving the in town pastimes to-live-in-the-fields
τὰ πολλὰ καὶ πλανᾶσθαι μόνος ἤθελεν, ἐν ἄλσεσι
for-the most-part and to-wander alone wished in groves
θεῶν καὶ λειμῶσιν ἱεροῖς καὶ τόποις ἐρήμοις ποιούμενος
of-gods and meadows sacred and places deserted making
τὴν δίαιταν. ὅθεν οὐχ ἥκιστα τὴν ἀρχὴν ὁ περὶ τῆς
the way-of-life whence not least the beginning the about the
θεᾶς ἔλαβε λόγος, ὡς ἄρα Νομᾶς ἐκεῖνος οὐκ ἀδημονίᾳ
goddess took story that then Numa that not by-distress
τινὶ ψυχῆς καὶ πλάνῃ τὸν μετὰ ἀνθρώπων ἀπολέλοιπε
some of-soul and wandering the with men has-left
βίον, ἀλλὰ σεμνοτέρας γεγευμένος ὁμιλίας καὶ γάμων
life but more-august having-tasted company and of-marriage
θείων ἠξιωμένος, Ἠγερίᾳ δαίμονι συνὼν ἐρώσῃ
divine having-been-deemed-worthy with-Egeria a-divinity consorting loving(-him)
καὶ συνδιαιτώμενος, εὐδαίμων ἀνὴρ καὶ τὰ θεῖα
and living-with(-her) a-happy man and in-the divine(-things)
πεπνυμένος γέγονεν. ὅτι μὲν οὖν ταῦτα πολλοῖς τῶν
wise has-become that indeed then these-things to-many of-the

πάνυ παλαιῶν μύθων ἔοικεν, οὓς οἱ Φρύγες τε περὶ
very ancient myths are-like which the Phrygians both about
Ἄττεω καὶ Βιθυνοὶ περὶ Ἡροδότου καὶ περὶ Ἐνδυμίωνος
Attis and Bithynians about Herodotus and about Endymion
Ἀρκάδες ἄλλοι τε περὶ ἄλλων εὐδαιμόνων δή τινων καὶ
Arcadians others and about other happy indeed some and
θεοφιλῶν γενέσθαι δοκούντων παραλαβόντες ἠγάπησαν, οὐκ
god-beloved to-have-been seeming having-received loved not
ἄδηλόν ἐστι. καί που λόγον ἔχει τὸν θεόν, οὐ φίλιππον
unclear is and somehow reason it-has the god not horse-loving
οὐδὲ φίλορνιν, ἀλλὰ φιλάνθρωπον ὄντα, τοῖς διαφερόντως
nor bird-loving but man-loving being with-the especially
ἀγαθοῖς ἐθέλειν συνεῖναι, καὶ μὴ δυσχεραίνειν μηδὲ ἀτιμάζειν
good to-wish to-associate and not to-be-displeased nor to-disdain
ἀνδρὸς ὁσίου καὶ σώφρονος ὁμιλίαν. ὡς δὲ καὶ σώματος
of-a-man holy and self-controlled company that and also with-body
ἀνθρωπίνου καὶ ὥρας ἐστί τις θεῷ καὶ δαίμονι
human and youthful-beauty is some to-a-god and to-a-divinity
κοινωνία καὶ χάρις, ἔργον ἤδη καὶ τοῦτο πεισθῆναι.
intercourse and pleasure a-work already also this to-be-persuaded
Καίτοι δοκοῦσιν οὐκ ἀπιθάνως Αἰγύπτιοι διαιρεῖν ὡς
and-yet seem not unpersuasively Egyptians to-distinguish that
γυναικὶ μὲν οὐκ ἀδύνατον πνεῦμα πλησιάσαι θεοῦ
to-a-woman indeed not impossible a-spirit to-approach of-a-god
καί τινας ἐντεκεῖν ἀρχὰς γενέσεως, ἀνδρὶ δὲ οὐκ ἔστι
and some to-beget beginnings of-generation for-a-man but not is
σύμμιξις πρὸς θεὸν οὐδὲ ὁμιλία σώματος. ἀγνοοῦσι
intercourse with a-god nor company of-body they-are-ignorant
δὲ ὅτι τὸ μιγνύμενον ᾧ μίγνυται τὴν ἴσην
but that the(-thing) mixing with-what it-is-mixed the equal
ἀνταποδίδωσι κοινωνίαν. οὐ μὴν ἀλλὰ φιλίαν γε πρὸς
gives-back communion not indeed but friendship at-least toward

ἄνθρωπον εἶναι θεῷ καὶ τὸν ἐπὶ ταύτῃ λεγόμενον
man to-be for-a-god and the on this(-friendship) so-called
ἔρωτα καὶ φυόμενον εἰς ἐπιμέλειαν ἤθους καὶ ἀρετῆς,
love and growing toward care of-character and of-virtue
πρέπον ἂν εἴη. καὶ οὐ πλημμελοῦσιν οἱ τὸν Φόρβαντα
fitting — would-be and not err those — Phorbas
καὶ τὸν Ὑάκινθον καὶ τὸν Ἄδμητον ἐρωμένους Ἀπόλλωνος
and — Hyacinthus and — Admetus beloved(-ones) of-Apollo
γεγονέναι μυθολογοῦντες, ὥσπερ αὖ καὶ τὸν Σικυώνιον
to-have-been telling-in-myth as again also the Sicyonian
Ἱππόλυτον, ᾧ δὴ καί φασιν, ὁσάκις τύχοι διαπλέων
Hippolytus to-whom indeed also they-say as-often-as he-happened sailing-across
εἰς Κίρραν ἐκ Σικυῶνος, τὴν Πυθίαν, οἷον αἰσθανομένου
to Cirrha from Sicyon — Pythia as-if perceiving
τοῦ θεοῦ καὶ χαίροντος, ἀποθεσπίζειν τόδε τὸ ἡρῷον·
the god and rejoicing to-utter-oracularly this the heroic-verse

Καὶ δ' αὖθ' Ἱππολύτοιο φίλον κάρα εἰς ἅλα βαίνει.
And also again of-Hippolytus dear head to sea goes

Πινδάρου δὲ καὶ τῶν μελῶν ἐραστὴν γενέσθαι τὸν Πᾶνα
of-Pindar and also of-the songs lover to-have-become — Pan
μυθολογοῦσιν. ἀπέδωκε δέ τινα τιμὴν καὶ Ἀρχιλόχῳ καὶ
they-tell-in-myth rendered and some honor also to-Archilochus and
Ἡσιόδῳ τελευτήσασι διὰ τὰς Μούσας τὸ δαιμόνιον.
to-Hesiod having-died because-of the Muses the divine
Σοφοκλεῖ δὲ καὶ ζῶντι τὸν Ἀσκληπιὸν ἐπιξενωθῆναι
to-Sophocles and even living — Asclepius to-have-been-a-guest
λόγος ἐστὶ πολλὰ μέχρι δεῦρο διασώζων τεκμήρια,
a-story there-is many until here preserving proofs
καὶ τελευτήσαντι τυχεῖν ταφῆς ἄλλος θεός, ὡς λέγεται,
and having-died to-obtain burial another god as it-is-said

παρέσχεν. ἆρα οὖν ἄξιόν ἐστι, ταῦτα συγχωροῦντας ἐπὶ
provided is-it then worthy is these-things conceding in
τούτων, ἀπιστεῖν εἰ Ζαλεύκῳ καὶ Μίνῳ καὶ Ζωροάστρῃ
these(-cases) to-disbelieve if to-Zaleucus and to-Minos and to-Zoroaster
καὶ Νομᾷ καὶ Λυκούργῳ βασιλείας κυβερνῶσι καὶ
and to-Numa and to-Lycurgus kingdoms steering and
πολιτείας διακοσμοῦσιν εἰς τὸ αὐτὸ ἐφοίτα τὸ δαιμόνιον,
constitutions arranging into the same(-place) came the divine
ἢ τούτοις μὲν εἰκός ἐστι καὶ σπουδάζοντας θεοὺς ὁμιλεῖν
or with-these indeed likely it-is also being-serious gods to-associate
ἐπὶ διδασκαλίᾳ καὶ παραινέσει τῶν βελτίστων, ποιηταῖς δὲ
for teaching and exhortation of-the best(-things) with-poets and
καὶ λυρικοῖς μινυρίζουσιν, εἴπερ ἄρα, χρῆσθαι παίζοντας;
and lyric(-poets) warbling if-indeed then to-consort jesting
εἰ δὲ λέγει τις ἄλλως, κατὰ Βακχυλίδην, "Πλατεῖα
if but says one otherwise according-to Bacchylides broad
κέλευθος." οὐδὲ γὰρ ἄτερος λόγος ἔχει τι φαῦλον,
(is-the)-road not-even for the-other account has anything mean
ὃν περὶ Λυκούργου καὶ Νομᾶ καὶ τοιούτων ἄλλων
which about Lycurgus and Numa and such other
ἀνδρῶν λέγουσιν, ὡς δυσκάθεκτα καὶ δυσάρεστα πλήθη
men they-say that hard-to-hold and hard-to-please multitudes
χειρούμενοι καὶ μεγάλας ἐπιφέροντες ταῖς πολιτείαις
subduing and great bringing to-the constitutions
καινοτομίας, προσεποιήσαντο τὴν ἀπὸ τοῦ θεοῦ δόξαν,
innovations they-pretended the from the god reputation
αὐτοῖς ἐκείνοις πρὸς οὓς ἐσχηματίζοντο σωτήριον οὖσαν.
for-them those toward whom they-assumed-the-part saving being

Numa at first refuses: a man of peace, he says, cannot rule a city born of war. His father and Marcius persuade him, and the augurs take the omens on the Capitol. He dismisses Romulus' guard, adds a flamen for Romulus, and sets out to soften the warlike city with sacrifices, processions, and religious awe. Plutarch notes the Pythagorean likenesses: Tacita, the silent Muse, no images of the gods, bloodless offerings, and the claims, which he leaves to the contentious, that Pythagoras became a Roman citizen.

Ἀλλὰ γὰρ ἔτος ἤδη διατελοῦντι τῷ Νομᾷ τεσσαρακοστὸν
but for year already passing — to-Numa fortieth
ἦκον ἀπὸ Ῥώμης οἱ πρέσβεις παρακαλοῦντες ἐπὶ τὴν
came from Rome the ambassadors summoning(-him) to the
βασιλείαν. τοὺς δὲ λόγους ἐποιήσατο Πρόκλος καὶ
kingship the and speeches made Proculus and
Οὐέλεσος, ὧν πρότερον ἐπίδοξος ἦν ὁ δῆμος αἱρήσεσθαι
Velesus of-whom before expected was the people to-choose
τὸν ἕτερον βασιλέα, Πρόκλῳ μὲν τῶν Ῥωμύλου λαῶν,
the one(-or-other) king to-Proculus indeed the of-Romulus people
Οὐελέσῳ δὲ τῶν Τατίου μάλιστα προσεχόντων. οὗτοι
to-Velesus and those of-Tatius most attaching-themselves these(-men)
μὲν οὖν βραχέα διελέχθησαν, οἰόμενοι τῷ Νομᾷ τὴν
indeed then briefly spoke thinking — to-Numa the
συντυχίαν ἀσπαζομένῳ γεγονέναι· ἦν δ' οὐ μικρόν, ὡς
good-fortune welcoming to-have-been it-was but not small as
ἔοικεν, ἔργον, ἀλλὰ καὶ λόγων πολλῶν καὶ δεήσεως τὸ
it-seems a-task but even of-words many and of-entreaty the
πεῖσαι καὶ μεταστῆσαι γνώμην ἀνδρὸς ἐν ἡσυχίᾳ καὶ
to-persuade and to-change the-mind of-a-man in quiet and
εἰρήνῃ βεβιωκότος εἰς ἀρχὴν πόλεως τρόπον τινὰ καὶ
peace having-lived to rule of-a-city in-a-way some both

γεγενημένης πολέμῳ καὶ συνηυξημένης. ἔλεγεν οὖν τοῦ τε
born in-war and grown-up he-said then the both
πατρὸς αὐτοῦ παρόντος καὶ Μαρκίου, τῶν συγγενῶν ἑνός,
father his being-present and Marcius of-the kinsmen one
ὡς "Πᾶσα μὲν ἀνθρωπίνου βίου μεταβολὴ σφαλερόν·
that all indeed of-human life change(-is) perilous
ᾧ δὲ μήτ' ἄπεστί τι τῶν ἱκανῶν μήτε μεμπτόν
for-whom but neither is-lacking anything of-the sufficient(-things) nor blamable
ἐστι τῶν παρόντων, τοῦτον οὐδὲν ἄλλο πλὴν ἄνοια
is of-the present(-things) this(-man) nothing else except folly
μετακοσμεῖ καὶ μεθίστησιν ἐκ τῶν συνήθων· οἷς κἂν
rearranges and removes from the accustomed(-things) which even
εἰ μηδὲν ἕτερον προσείη, τῷ βεβαιοτέρῳ διαφέρει τῶν
if nothing else be-added by-the more-secure differ from-the
ἀδήλων. ἀλλ' οὐδὲ ἄδηλα τὰ τῆς βασιλείας τοῖς
uncertain(-things) but not-even uncertain the(-things) of-the kingship by-the
Ῥωμύλου τεκμαιρομένῳ παθήμασιν, ὡς πονηρὰν μὲν αὐτὸς
of-Romulus to-one-judging sufferings how a-bad indeed himself
ἔλαβε δόξαν ἐπιβουλεῦσαι τῷ συνάρχοντι Τατίῳ, πονηρὰν
got reputation to-have-plotted-against the colleague Tatius a-bad
δὲ τοῖς ὁμοτίμοις περιεποίησεν ὡς ἀνῃρημένος ὑπ' αὐτῶν.
and for-the peers be-brought-about as having-been-killed by them
καίτοι Ῥωμύλον μὲν οὗτοι παῖδα θεῶν ὑμνοῦσι φήμαις,
and-yet Romulus indeed these(-men) son of-gods celebrate in-rumors
καὶ τροφήν τινα δαιμόνιον αὐτοῦ καὶ σωτηρίαν ἄπιστον
and nurture some divine his and preservation incredible
ἔτι νηπίου λέγουσιν· ἐμοὶ δὲ καὶ γένος θνητόν ἐστι καὶ
still an-infant say for-me but both race mortal is and
τροφὴ καὶ παίδευσις ὑπ' ἀνθρώπων ὧν οὐκ ἀγνοεῖτε
nurture and education by men whom not you-are-unaware
γεγενημένη· τὰ δ' ἐπαινούμενα τοῦ τρόπου βασιλεύειν
having-happened the and praised(-things) of-the character to-reign

πόρρω μέλλοντος ἀνδρός, ἡσυχία τε πολλὴ καὶ διατριβὴ
far-from going(-to-reign) of-a-man quiet both much and occupation
περὶ λόγους ἀπράγμονας, ὅ τε δεινὸς οὗτος καὶ σύντροφος
about discourses unbusied the both strong this and bred-with
εἰρήνης ἔρως καὶ πραγμάτων ἀπολέμων καὶ ἀνθρώπων ἐπὶ
peace love and of-affairs unwarlike and of-men for
τιμῇ θεῶν καὶ φιλοφροσύναις εἰς τὸ αὐτὸ συνιόντων, τὰ
honor of-gods and kindnesses into the same coming-together the(-rest)
δὲ ἄλλα καθ' ἑαυτοὺς γεωργούντων ἢ νεμόντων. ὑμῖν δέ,
and other by themselves farming or pasturing to-you and
ὦ Ῥωμαῖοι, πολλοὺς μὲν ἴσως ἀβουλήτους ἀπολέλοιπε
O Romans many indeed perhaps unwished-for has-left
πολέμους Ῥωμύλος, οἷς ἀντερείδοντος ἡ πόλις ἐμπείρου
wars Romulus in-which resisting the city an-experienced
δεῖται βασιλέως καὶ ἀκμάζοντος· πολλὴ δὲ καὶ συνήθεια
needs king and in-his-prime much and also habit
καὶ προθυμία δι' εὐτυχίαν γέγονε τῷ δήμῳ, καὶ οὐδένα
and eagerness through good-fortune has-arisen in-the people and no-one
λέληθεν αὔξεσθαι καὶ κρατεῖν ἑτέρων βουλόμενος, ὥστε
has-escaped-notice to-grow and to-rule others wishing so-that
καὶ γέλως ἂν εἴη τἀμά, θεραπεύοντος θεούς, καὶ δίκην
even laughter — would-be my(-ways) worshiping gods and justice
τιμᾶν, βίαν δὲ καὶ πόλεμον ἐχθαίρειν διδάσκοντος πόλιν
to-honor force but and war to-hate teaching a-city
στρατηλάτου μᾶλλον ἢ βασιλέως δεομένην."
a-general rather than a-king needing
Τοιούτοις λόγοις ἀφοσιουμένου τὴν βασιλείαν τοῦ ἀνδρός, 6
with-such words refusing the kingship the man
οἵ τε Ῥωμαῖοι πᾶσαν ἐποιοῦντο σπουδὴν ἀντιβολοῦντες
the both Romans every made effort beseeching
καὶ δεόμενοι μὴ σφᾶς αὖθις εἰς στάσιν ἐμβαλεῖν καὶ
and entreating not them again into strife to-cast and

πόλεμον ἐμφύλιον, οὐκ ὄντος ἑτέρου πρὸς ὃν ἀμφότεραι
war civil not being another to whom both
συννεύσουσιν αἱ στάσεις, ὅ τε πατὴρ καὶ ὁ Μάρκιος
will-incline the factions the both father and — Marcius
ἐκείνων μεταστάντων ἰδίᾳ προσκείμενοι τὸν Νομᾶν
those having-withdrawn privately pressing — Numa
ἔπειθον δέχεσθαι μέγα καὶ θεῖον δῶρον. “Εἰ δὲ αὐτὸς
persuaded(-him) to-accept great and divine gift if and yourself
οὔτε πλούτου δέῃ δι᾽ αὐτάρκειαν οὔτε δόξαν ἀρχῆς καὶ
neither wealth need because-of self-sufficiency nor the-glory of-rule and
δυναστείας ἐζήλωκας κρείσσονα τὴν ἀπ᾽ ἀρετῆς ἔχων,
of-power have-coveted better the(-glory) from virtue having
ἀλλ᾽ ὑπηρεσίαν γε θεοῦ τὸ βασιλεύειν ἡγούμενος, ὅς γε
but service at-least of-god the to-reign considering who at-least
ἀνίστησι καὶ οὐκ ἐᾷ κεῖσθαι καὶ ἀργεῖν τὴν ἐν σοὶ τοσαύτην
rouses and not allows to-lie and to-be-idle the in you so-great
δικαιοσύνην, μὴ φεῦγε μηδὲ ἀποδίδρασκε τὴν ἀρχήν, ἀνδρὶ
justice not flee nor run-away-from the rule for-a-man
φρονίμῳ πράξεων καλῶν καὶ μεγάλων οὖσαν χώραν, ἐν ᾗ
wise of-deeds noble and great being a-field in which
καὶ θεραπεῖαι θεῶν μεγαλοπρεπεῖς εἰσι καὶ πρὸς εὐσέβειαν
both services of-gods magnificent are and toward piety
ἀνθρώπων ἡμερώσεις ῥᾷστα καὶ τάχιστα μετακοσμουμένων
of-men tamings most-easily and most-quickly being-reshaped
ὑπὸ τοῦ κρατοῦντος. οὗτοι καὶ Τάτιον ἔστερξαν ἔπηλυν
by the ruler these(-men) even Tatius loved a-newcomer
ἡγεμόνα, καὶ τὴν Ῥωμύλου μνήμην ἀποθεοῦσι ταῖς
leader and the of-Romulus memory they-deify with-the
τιμαῖς. τίς δὲ οἶδεν εἰ καὶ νικῶντι δήμῳ πολέμου
honors who and knows whether even for-a-conquering people of-war
κόρος ἐστί, καὶ μεστοὶ θριάμβων καὶ λαφύρων γεγονότες
satiety is and full of-triumphs and spoils having-become

ἡγεμόνα πρᾷον καὶ δίκης ἑταῖρον ἐπ᾽ εὐνομίᾳ καὶ εἰρήνῃ
a-leader gentle and of-justice a-companion for good-order and peace
ποθοῦσιν; εἰ δὲ δὴ καὶ παντάπασιν ἀκρατῶς ἔχουσι
they-long-for if and indeed even altogether intemperately are(-disposed)
καὶ μανικῶς πρὸς πόλεμον, ἆρ᾽ οὐχὶ βέλτιον ἀλλαχόσε
and madly toward war is-it not better elsewhere
τὴν ὁρμὴν αὐτῶν τρέπειν, διὰ χειρὸς ἔχοντα τὰς ἡνίας,
the impulse their to-turn by hand holding the reins
τῇ δὲ πατρίδι καὶ παντὶ τῷ Σαβίνων ἔθνει σύνδεσμον
for-the and fatherland and all the of-Sabines nation a-bond
εὐνοίας καὶ φιλίας πρὸς πόλιν ἀκμάζουσαν καὶ δυνατὴν
of-goodwill and friendship toward a-city flourishing and powerful
γενέσθαι;" τούτοις προσῆν, ὡς λέγεται, σημεῖά τε
to-become to-these(-arguments) were-added as it-is-said signs both
χρηστὰ καὶ σπουδὴ τῶν πολιτῶν καὶ ζῆλος, ὡς ἐπύθοντο
good and zeal of-the citizens and eagerness when they-learned-of
τὴν πρεσβείαν, δεομένων βαδίζειν καὶ παραλαμβάνειν τὴν
the embassy begging(-him) to-go and to-take-over the
βασιλείαν ἐπὶ κοινωνίᾳ καὶ συγκράσει τῶν πολιτῶν.
kingship for sharing and blending of-the citizens
Ὡς οὖν ἐδέδοκτο, θύσας τοῖς θεοῖς προῆγεν εἰς 7
when then it-had-been-resolved having-sacrificed to-the gods he-set-out to
τὴν Ῥώμην. ἀπήντα δὲ ἡ βουλὴ καὶ ὁ δῆμος ἔρωτι
— Rome came-to-meet(-him) and the senate and the people with-love
θαυμαστῷ τοῦ ἀνδρός, εὐφημίαι τε πρέπουσαι γυναικῶν
wonderful of-the man acclamations both fitting of-women
ἐγίνοντο καὶ θυσίαι πρὸς ἱεροῖς καὶ χαρὰ πάντων, ὥσπερ
arose and sacrifices at temples and joy of-all as-if
οὐ βασιλέα τῆς πόλεως, ἀλλὰ βασιλείαν δεχομένης. ἐπεὶ δὲ
not a-king the city but a-kingdom receiving when and
εἰς τὴν ἀγορὰν κατέστησαν, ὁ μὲν ταῖς ὥραις ἐκείναις
into the market-place they-came the(-one) indeed at-the hours those

συνειληχὼς μεσοβασιλεὺς Σπόριος Οὐέττιος ψῆφον ἐπέδωκε
having-been-allotted interrex Spurius Vettius a-vote gave
τοῖς πολίταις καὶ πάντες ἤνεγκαν, προσφερομένων δ' αὐτῷ
to-the citizens and all brought(-it) being-offered and to-him
τῶν βασιλικῶν παρασήμων ἐπισχεῖν κελεύσας ἔφη δεῖσθαι
the royal insignia to-wait having-ordered he-said to-need
καὶ θεοῦ τὴν βασιλείαν ἐμπεδοῦντος αὐτῷ. παραλαβὼν δὲ
also a-god the kingship confirming to-him having-taken and
μάντεις καὶ ἱερεῖς ἀνέβαινεν εἰς τὸ Καπιτώλιον· Ταρπήϊον
seers and priests he-went-up to — Capitol Tarpeian
αὐτὸ λόφον οἱ τότε Ῥωμαῖοι προσηγόρευον. ἐνταῦθα
it hill the then Romans called there
τῶν μάντεων ὁ πρωτεύων τὸν μὲν εἰς μεσημβρίαν
of-the seers the chief him indeed to the-south
τρέψας ἐγκεκαλυμμένον, αὐτὸς δὲ παραστὰς ἐξόπισθεν
having-turned veiled himself and standing-by behind
καὶ τῇ δεξιᾷ τῆς κεφαλῆς ἐφαπτόμενος αὐτοῦ κατεύξατο,
and with-the right the head touching his prayed
καὶ περιεσκόπει τὰ παρὰ τῶν θεῶν ἐν οἰωνοῖς ἢ
and looked-around the(-things) from the gods in birds or
συμβόλοις προφαινόμενα, πανταχόσε τὰς ὄψεις περιφέρων.
signs appearing everywhere the eyes turning
σιγὴ δὲ ἄπιστος ἐν πλήθει τοσούτῳ τὴν ἀγορὰν κατεῖχε
silence and incredible in a-multitude so-great the market-place held
καραδοκούντων καὶ συναιωρουμένων τῷ μέλλοντι, μέχρι
of-those-waiting and in-suspense at-the future until
οὗ προὐφάνησαν ὄρνιθες ἀγαθοὶ καὶ δεξιοὶ ἐπέτρεψαν. οὕτω
which appeared birds good and favorable permitted(-it) so
δὲ τὴν βασιλικὴν ἀναλαβὼν ἐσθῆτα κατέβαινε Νομᾶς εἰς
and the royal having-assumed dress came-down Numa to

τὸ πλῆθος ἀπὸ τῆς ἄκρας. τότε δὲ καὶ φωναὶ καὶ δεξιώσεις
the multitude from the height then and both shouts and welcomes
ἦσαν ὡς εὐσεβέστατον καὶ θεοφιλέστατον δεχομένων.
were as the-most-pious and most-god-beloved receiving(-him)
Παραλαβὼν δὲ τὴν ἀρχὴν πρῶτον μὲν τὸ τῶν τριακοσίων
having-taken-over and the rule first indeed the of-the three-hundred
σύστημα διέλυσεν, οὓς Ῥωμύλος ἔχων ἀεὶ περὶ τὸ
body he-disbanded whom Romulus having always about the
σῶμα Κέλερας προσηγόρευσεν, ὅπερ ἐστὶ ταχεῖς· οὔτε
body Celeres called which is swift neither
γὰρ ἀπιστεῖν πιστεύουσιν οὔτε βασιλεύειν ἀπιστούντων
for to-distrust those-trusting nor to-reign over-those-distrusting
ἠξίου. δεύτερον δὲ τοῖς οὖσιν ἱερεῦσι Διὸς καὶ Ἄρεως
he-thought-fit second and to-the existing priests of-Zeus and of-Ares
τρίτον Ῥωμύλου προσκατέστησεν, ὃν Φλάμινα Κυρινάλιον
a-third of-Romulus he-appointed-in-addition whom Flamen Quirinalis
ὠνόμασεν. ἐκάλουν δὲ καὶ τοὺς προγενεστέρους Φλάμινας
he-named they-called and also the earlier(-priests) Flamens
ἀπὸ τῶν περικρανίων πίλων οὓς περὶ ταῖς κεφαλαῖς
from the skull-fitting caps which around the heads
φοροῦσι, πιλαμένας τινὰς ὄντας, ὡς ἱστοροῦσι, τῶν
they-wear pilamens some being as they-record of-the
Ἑλληνικῶν ὀνομάτων τότε μᾶλλον ἢ νῦν τοῖς Λατίνοις
Greek words then more than now with-the Latin(-ones)
ἀνακεκραμένων. καὶ γὰρ ἃς ἐφόρουν οἱ ἱερεῖς λαίνας
having-been-mixed and for which wore the priests laenae
ὁ Ἰόβας χλαίνας φησὶν εἶναι, καὶ τὸν ὑπηρετοῦντα τῷ
— Juba chlaenae says to-be and the(-boy) serving the
ἱερεῖ τοῦ Διὸς ἀμφιθαλῆ παῖδα λέγεσθαι Κάμιλλον,
priest — of-Zeus with-both-parents-living boy to-be-called Camillus

ὡς καὶ τὸν Ἑρμῆν οὕτως ἔνιοι τῶν Ἑλλήνων Κάμιλλον
as also — Hermes so some of-the Greeks Camillus
ἀπὸ τῆς διακονίας προσηγόρευον.
from the attendance called

8 Ταῦτα δὲ ὁ Νομᾶς ἐπ᾽ εὐνοίᾳ καὶ χάριτι τοῦ
these-things and — Numa for goodwill and favor of-the
δήμου πολιτευσάμενος εὐθὺς ἐπεχείρει τὴν πόλιν, ὥσπερ
people having-enacted at-once undertook the city as
σίδηρον, ἐκ σκληρᾶς καὶ πολεμικῆς μαλακωτέραν ποιῆσαι
iron from hard and warlike softer to-make
καὶ δικαιοτέραν. ἀτεχνῶς γὰρ ἦν Πλάτων ἀποκαλεῖ
and juster simply for which Plato calls
φλεγμαίνουσαν πόλιν ἐκείνη τότ᾽ ἦν, συστᾶσα μὲν
inflamed a-city that then was having-been-formed indeed
εὐθὺς ἐξ ἀρχῆς τόλμῃ τινὶ καὶ παραβόλῳ θρασύτητι
at-once from beginning by-daring some and reckless boldness
τῶν θρασυτάτων καὶ μαχιμωτάτων ἐκεῖ πανταχόθεν
of-the boldest and most-warlike there from-everywhere
ὠσαμένων, ταῖς δὲ πολλαῖς στρατείαις καὶ τοῖς
having-thrust(-themselves) by-the and many campaigns and the
συνεχέσι πολέμοις τροφῇ χρησαμένη καὶ αὐξήσει
continuous wars as-nourishment having-used and growth
τῆς δυνάμεως, καὶ καθάπερ τὰ καταπηγνύμενα τῷ
of-the power and as the(-things) being-fixed by-the
σείεσθαι μᾶλλον ἑδράζεται, ῥώννυσθαι δοκοῦσα διὰ
to-be-shaken more are-settled to-be-strengthened seeming through
τῶν κινδύνων, οὕτω δὴ μετέωρον καὶ τετραχυμένον
the dangers so indeed an-excited and roughened
δῆμον οὐ μικρᾶς οὐδὲ φαύλης οἰόμενος εἶναι πραγματείας
people not of-small nor mean thinking to-be undertaking
μεταχειρίσασθαι καὶ μετακοσμῆσαι πρὸς εἰρήνην, ἐπηγάγετο
to-handle and to-reshape toward peace he-called-in

τὴν ἀπὸ τῶν θεῶν βοήθειαν, τὰ μὲν πολλὰ θυσίαις
the from the gods help the(-times) indeed many with-sacrifices
καὶ πομπαῖς καὶ χορείαις, ἃς αὐτὸς ὠργίασε καὶ
and processions and dances which himself instituted and
κατέστησεν, ἅμα σεμνότητι διαγωγὴν ἐπίχαριν καὶ
established together-with solemnity diversion charming and
φιλάνθρωπον ἡδονὴν ἐχούσαις, δημαγωγῶν καὶ τιθασεύων
kindly pleasure having courting-the-people and taming
τὸ θυμοειδὲς καὶ φιλοπόλεμον· ἔστι δ᾽ ὅτε καὶ
the spirited and war-loving(-element) there-are and times-when also
φόβους τινὰς ἀπαγγέλλων παρὰ τοῦ θεοῦ καὶ φάσματα
fears some announcing from the god and apparitions
δαιμόνων ἀλλόκοτα καὶ φωνὰς οὐκ εὐμενεῖς, ἐδούλου καὶ
of-divinities strange and voices not favorable he-enslaved and
ταπεινὴν ἐποίει τὴν διάνοιαν αὐτῶν ὑπὸ δεισιδαιμονίας.
humble made the mind their by superstition
ἐξ ὧν καὶ μάλιστα λόγον ἔσχεν ἡ σοφία καὶ ἡ
from which(-things) also most account had the wisdom and the
παίδευσις τοῦ ἀνδρός, ὡς Πυθαγόρᾳ συγγεγονότος. μέγα
education of-the man as with-Pythagoras having-associated great
γὰρ ἦν μέρος, ὡς ἐκείνῳ τῆς φιλοσοφίας, καὶ τούτῳ
for was part as for-that(-man) of-the philosophy also for-this(-man)
τῆς πολιτείας ἡ περὶ τὸ θεῖον ἁγιστεία καὶ διατριβή.
of-the government the about the divine worship and occupation
λέγεται δὲ καὶ τὸν ἔξωθεν ὄγκον καὶ σχηματισμὸν ἀπὸ
it-is-said and also the outward pomp and bearing from
τῆς αὐτῆς Πυθαγόρᾳ διανοίας περιβαλέσθαι. καὶ γὰρ
the same as-Pythagoras purpose to-have-assumed and for
ἐκεῖνος ἀετόν τε δοκεῖ πραῦναι, φωναῖς τισιν ἐπιστήσας
that(-man) an-eagle both seems to-have-tamed by-cries some having-stopped(-it)
καὶ καταγαγὼν ὑπεριπτάμενον, τόν τε μηρὸν ὑποφῆναι
and having-brought-down flying-over the both thigh to-have-shown

χρυσοῦν Ὀλυμπίασι διαπορευόμενος τὴν πανήγυριν· ἄλλας
golden at-Olympia passing-through the festival other
τε τερατώδεις μηχανὰς αὐτοῦ καὶ πράξεις ἀναγγέλλουσιν,
both wonder-working devices his and actions they-report
ἐφ' αἷς καὶ Τίμων ὁ Φλιάσιος ἔγραψε·
at which also Timon the Phliasian wrote

Πυθαγόρην δὲ γόητας ἀποκλίνοντ' ἐπὶ δόξας
Pythagoras and wizard(-like) inclining to opinions
θήρῃ ἐπ' ἀνθρώπων, σεμνηγορίης ὀαριστήν·
for-hunting of men of-solemn-speech an-intimate

τῷ δὲ Νομᾷ δρᾶμα θεᾶς τινος ἢ νύμφης ὀρείας ἔρως
— and for-Numa a-drama of-a-goddess some or nymph of-the-mountains love
ἦν καὶ συνουσία πρὸς αὐτὸν ἀπόρρητος, ὥσπερ εἴρηται,
was and intercourse with him secret as has-been-said
καὶ κοιναὶ μετὰ Μουσῶν διατριβαί. τὰ γὰρ πλεῖστα τῶν
and common with Muses pastimes the for most of-the
μαντευμάτων εἰς Μούσας ἀνῆγε, καὶ μίαν Μοῦσαν ἰδίως
oracles to Muses he-referred and one Muse especially
καὶ διαφερόντως ἐδίδαξε σέβεσθαι τοὺς Ῥωμαίους, Τακίταν
and exceptionally he-taught to-revere the Romans Tacita
προσαγορεύσας, οἷον σιωπηλὴν ἢ ἐνεάν· ὅπερ εἶναι δοκεῖ
having-called(-her) as-it-were silent or dumb which to-be seems
τὴν Πυθαγόρειον ἀπομνημονεύοντος ἐχεμυθίαν καὶ τιμῶντος.
the Pythagorean recalling reticence and honoring
Ἔστι δὲ καὶ τὰ περὶ τῶν ἀφιδρυμάτων νομοθετήματα
there-are and also the about the images enactments
παντάπασιν ἀδελφὰ τῶν Πυθαγόρου δογμάτων. οὔτε γὰρ
altogether akin to-the of-Pythagoras doctrines neither for
ἐκεῖνος αἰσθητὸν ἢ παθητόν, ἀόρατον δὲ καὶ ἄκτιστον
he perceptible or passible invisible but and uncreated

καὶ νοητὸν ὑπελάμβανεν εἶναι τὸ πρῶτον, οὗτός τε
and intelligible supposed to-be the first(-principle) this(-man) both
διεκώλυσεν ἀνθρωποειδῆ καὶ ζῳόμορφον εἰκόνα θεοῦ
forbade human-shaped and animal-formed an-image of-god
Ῥωμαίους νομίζειν. οὐδ' ἦν παρ' αὐτοῖς οὔτε γραπτὸν οὔτε
Romans to-believe nor was among them neither painted nor
πλαστὸν εἶδος θεοῦ πρότερον, ἀλλ' ἐν ἑκατὸν ἑβδομήκοντα
molded form of-god before but in hundred seventy
τοῖς πρώτοις ἔτεσι ναοὺς μὲν οἰκοδομούμενοι καὶ καλιάδας
the first years temples indeed building and chapels
ἱερὰς ἱστῶντες, ἄγαλμα δὲ οὐδὲν ἔμμορφον ποιούμενοι
sacred setting-up statue but no shaped making
διετέλουν, ὡς οὔτε ὅσιον ἀφομοιοῦν τὰ βελτίονα τοῖς
they-continued as neither holy to-liken the better(-things) to-the
χείροσιν οὔτε ἐφάπτεσθαι θεοῦ δυνατὸν ἄλλως ἢ νοήσει.
worse(-things) nor to-apprehend god possible otherwise than by-thought
κομιδῇ δὲ καὶ τὰ τῶν θυσιῶν ἔχεται τῆς Πυθαγορικῆς
altogether and also the of-the sacrifices are-close-to the Pythagorean
ἁγιστείας· ἀναίμακτοι γὰρ ἦσαν αἵ γε πολλαί, δι'
worship bloodless for were those at-least most through
ἀλφίτου καὶ σπονδῆς καὶ τῶν εὐτελεστάτων πεποιημέναι.
barley-meal and libation and the cheapest(-things) made
Χωρὶς δὲ τούτων ἑτέροις ἔξωθεν ἐπαγωνίζονται
apart-from and these with-other from-outside contend
τεκμηρίοις οἱ τὸν ἄνδρα τῷ ἀνδρὶ συνοικειοῦντες.
proofs those the man with-the man connecting
ὧν ἓν μέν ἐστιν ὅτι Πυθαγόραν Ῥωμαῖοι τῇ πολιτείᾳ
of-which one indeed is that Pythagoras Romans to-the citizenship
προσέγραψαν, ὡς ἱστόρηκεν Ἐπίχαρμος ὁ κωμικὸς ἔν
enrolled as has-recorded Epicharmus the comic(-poet) in
τινι λόγῳ πρὸς Ἀντήνορα γεγραμμένῳ, παλαιὸς ἀνὴρ καὶ
some discourse to Antenor written an-ancient man and

τῆς Πυθαγορικῆς διατριβῆς μετεσχηκώς· ἕτερον δὲ ὅτι
of-the Pythagorean school having-been-a-member another and that
τεσσάρων υἱῶν βασιλεῖ Νομᾷ γενομένων ἕνα Μάμερκον
four sons to-king Numa having-been-born one Mamercus
ἐπὶ τῷ Πυθαγόρου παιδὶ προσηγόρευσεν. ἀπ᾽ ἐκείνου δὲ
after the of-Pythagoras son he-named from him and
καὶ τὸν Αἰμιλίων οἶκον ἀναμιχθέντα τοῖς πατρικίοις
also the of-Aemilii house having-been-blended with-the patricians
ὀνομασθῆναί φασιν, οὕτως ὑποκοριζομένου τοῦ βασιλέως
to-have-been-named they-say so calling-by-a-pet-name the king
τὴν ἐν τοῖς λόγοις τοῦ ἀνδρὸς αἰμυλίαν καὶ χάριν. αὐτοὶ
the in the speech of-the man winsomeness and grace we-ourselves
δ᾽ ἀκηκόαμεν πολλῶν ἐν Ῥώμῃ διεξιόντων ὅτι χρησμοῦ
and have-heard many in Rome relating that an-oracle
ποτε Ῥωμαίοις γενομένου τὸν φρονιμώτατον καὶ τὸν
once to-Romans having-been-given the wisest and the
ἀνδρειότατον Ἑλλήνων ἱδρύσασθαι παρ᾽ αὐτοῖς, ἕστησαν ἐπὶ
bravest of-Greeks to-set-up among them they-erected in
τῆς ἀγορᾶς εἰκόνας χαλκᾶς δύο, τὴν μὲν Ἀλκιβιάδου,
the market-place statues bronze two the(-one) indeed of-Alcibiades
τὴν δὲ Πυθαγόρου. ταῦτα μὲν οὖν ἀμφισβητήσεις
the(-other) and of-Pythagoras these-things indeed then disputes
ἔχοντα πολλὰς καὶ τὸ κινεῖν διὰ μακροτέρων καὶ τὸ
having many both the to-stir-up at greater-length and the
πιστοῦσθαι μειρακιώδους ἔστι φιλονεικίας.
to-confirm(-them) of-a-youthful is contentiousness

Numa institutes the pontifices, whose name most derive from the bridge they kept, and makes the chief pontiff overseer of rites and of the Vestal virgins. He consecrates the virgins to keep the undying fire, relit only from the sun. They serve thirty years and have great honors, but one who breaks her vow is buried alive near the Colline gate. The temple of Vesta is round, like the universe. He also regulates mourning and founds the fetials, whose overriding, it is said, brought the Gauls on Rome.

Νομᾷ δὲ καὶ τὴν τῶν ἀρχιερέων, οὓς Ποντίφικας καλοῦσι, 9
to-Numa and also the of-the high-priests whom Pontifices they-call
διάταξιν καὶ κατάστασιν ἀποδιδόασι, καί φασιν αὐτὸν
ordering and establishment they-ascribe and say him
ἕνα τούτων τὸν πρῶτον γεγονέναι. κεκλῆσθαι δὲ τοὺς
one of-these the first to-have-been to-be-called and the
Ποντίφικας οἱ μὲν ὅτι τοὺς θεοὺς θεραπεύουσι δυνατοὺς
Pontifices the(-ones) indeed because the gods they-serve powerful
καὶ κυρίους ἁπάντων ὄντας· ὁ γὰρ δυνατὸς ὑπὸ Ῥωμαίων
and masters of-all being the for powerful by Romans
ὀνομάζεται πότηνς· ἕτεροι δέ φασι πρὸς ὑπεξαίρεσιν
is-named potens others and say for exception
γεγονέναι τοὔνομα τῶν δυνατῶν, ὡς τοῦ νομοθέτου τὰς
to-have-arisen the-name of-the possible(-cases) as the lawgiver the
δυνατὰς ἐπιτελεῖν ἱερουργίας τοὺς ἱερεῖς κελεύοντος, ἂν δὲ
possible to-perform rites the priests ordering if but
ᾖ τι κώλυμα μεῖζον, οὐ συκοφαντοῦντος. οἱ δὲ πλεῖστοι
there-be any hindrance greater not finding-fault the but most
μάλιστα καὶ τὸ γελώμενον τῶν ὀνομάτων δοκιμάζουσιν,
especially even the laughed-at of-the names approve
ὡς οὐδὲν ἀλλ᾽ ἢ γεφυροποιοὺς τοὺς ἄνδρας ἐπικληθέντας
as nothing other than bridge-makers the men having-been-called
ἀπὸ τῶν ποιουμένων περὶ τὴν γέφυραν ἱερῶν, ἁγιωτάτων
from the made at the bridge sacrifices most-holy

καὶ παλαιοτάτων ὄντων· πόντεμ γὰρ οἱ Λατῖνοι τὴν
and most-ancient being pontem for the Latins the
γέφυραν ὀνομάζουσιν. εἶναι μέντοι καὶ τὴν τήρησιν αὐτῆς
bridge call to-be however also the keeping its
καὶ τὴν ἐπισκευήν, ὥσπερ ἄλλο τι τῶν ἀκινήτων καὶ
and the repair as other any of-the unalterable and
πατρίων ἱερῶν, προσήκουσαν τοῖς ἱερεῦσιν. οὐ γὰρ θεμιτόν,
ancestral rites belonging to-the priests not for lawful
ἀλλ' ἐπάρατον ἡγεῖσθαι Ῥωμαίους τὴν κατάλυσιν τῆς
but accursed to-consider Romans the destruction of-the
ξυλίνης γεφύρας. λέγεται δὲ καὶ τὸ πάμπαν ἄνευ σιδήρου
wooden bridge it-is-said and also the altogether without iron
κατὰ δή τι λόγιον συγγεγομφῶσθαι διὰ τῶν ξύλων.
according-to indeed some oracle to-have-been-pinned-together by the timbers
ἡ δὲ λιθίνη πολλοῖς ὕστερον ἐξειργάσθη χρόνοις ὑπ'
the but stone(-one) many later was-built times by
Αἰμιλίου ταμιεύοντος. οὐ μὴν ἀλλὰ καὶ τὴν ξυλίνην
Aemilius being-quaestor not indeed but also the wooden(-one)
τῶν Νομᾶ χρόνων ἀπολείπεσθαι λέγουσιν, ὑπὸ Μαρκίου
than-the of-Numa times to-fall-short they-say by Marcius
τοῦ Νομᾶ θυγατριδοῦ βασιλεύοντος ἀποτελεσθεῖσαν.
the of-Numa grandson reigning having-been-completed
Ὁ δὲ μέγιστος τῶν Ποντιφίκων οἷον ἐξηγητοῦ καὶ
the and chief of-the Pontifices as-it-were of-expounder and
προφήτου, μᾶλλον δὲ ἱεροφάντου τάξιν εἴληχεν, οὐ μόνον
of-prophet rather but of-hierophant the-post has-obtained not only
τῶν δημοσίᾳ δρωμένων ἐπιμελούμενος, ἀλλὰ καὶ τοὺς
of-the(-rites) publicly performed taking-care but also those
ἰδίᾳ θύοντας ἐπισκοπῶν καὶ κωλύων παρεκβαίνειν τὰ
privately sacrificing overseeing and preventing to-transgress the
νενομισμένα, καὶ διδάσκων ὅτου τις δέοιτο πρὸς θεῶν
customary(-rites) and teaching what anyone might-need for of-gods

τιμὴν ἢ παραίτησιν. ἦν δὲ καὶ τῶν ἱερῶν παρθένων
honor or propitiation he-was and also of-the sacred virgins
ἐπίσκοπος, ἃς Ἑστιάδας προσαγορεύουσι. Νομᾷ γὰρ δὴ
overseer whom Vestals they-call to-Numa for indeed
καὶ τὴν τῶν Ἑστιάδων παρθένων καθιέρωσιν καὶ ὅλως
also the of-the Vestal virgins consecration and in-general
τὴν περὶ τὸ πῦρ τὸ ἀθάνατον, ὃ φυλάττουσιν αὗται,
the about the fire the undying which guard these
θεραπείαν τε καὶ τιμὴν ἀποδιδόασιν, εἴτε ὡς καθαρὰν καὶ
service both and honor they-ascribe whether as pure and
ἄφθαρτον τὴν τοῦ πυρὸς οὐσίαν ἀκηράτοις καὶ ἀμιάντοις
incorruptible the of-the fire substance to-untouched and undefiled
παρατιθεμένου σώμασιν, εἴτε τὸ ἄκαρπον καὶ ἄγονον τῇ
entrusting bodies or the unfruitful and barren with-the
παρθενίᾳ συνοικειοῦντος. ἐπεί τοι τῆς Ἑλλάδος ὅπου πῦρ
virginity associating since indeed — of-Greece where fire
ἄσβεστόν ἐστιν, ὡς Πυθοῖ καὶ Ἀθήνησιν, οὐ παρθένοι,
unquenchable is as at-Pytho and at-Athens not virgins
γυναῖκες δὲ πεπαυμέναι γάμων ἔχουσι τὴν ἐπιμέλειαν·
women but having-ceased from-marriage have the care
ἐὰν δὲ ὑπὸ τύχης τινὸς ἐκλίπῃ, καθάπερ Ἀθήνησι μὲν ἐπὶ
if and by chance some it-fail as at-Athens indeed in
τῆς Ἀριστίωνος λέγεται τυραννίδος ἀποσβεσθῆναι τὸν
the of-Aristion it-is-said tyranny to-have-been-extinguished the
ἱερὸν λύχνον, ἐν Δελφοῖς δὲ τοῦ ναοῦ καταπρησθέντος ὑπὸ
sacred lamp at Delphi and the temple having-been-burned by
Μήδων, περὶ δὲ τὰ Μιθριδατικὰ καὶ τὸν ἐμφύλιον Ῥωμαίων
Medes about and the Mithridatic(-wars) and the civil of-Romans
πόλεμον ἅμα τῷ βωμῷ τὸ πῦρ ἠφανίσθη, οὗ φασι δεῖν
war together-with the altar the fire vanished not they-say it-needful
ἀπὸ ἑτέρου πυρὸς ἐναύεσθαι, καινὸν δὲ ποιεῖν καὶ νέον,
from other fire to-be-kindled new but to-make and fresh

ἀνάπτοντας ἀπὸ τοῦ ἡλίου φλόγα καθαρὰν καὶ ἀμίαντον.
lighting from the sun flame pure and undefiled
ἐξάπτουσι δὲ μάλιστα τοῖς σκαφείοις, ἃ κατασκευάζεται
they-kindle and mostly with-the burning-mirrors which are-constructed
μὲν ἀπὸ πλευρᾶς ἰσοσκελοῦς ὀρθογωνίου τριγώνου
indeed from side of-an-isosceles right-angled triangle
κοιλαινόμενα, συννεύει δ' εἰς ἓν ἐκ τῆς περιφερείας
hollowed converge and to one from the circumference
κέντρον. ὅταν οὖν θέσιν ἐναντίαν λάβῃ πρὸς τὸν ἥλιον,
center whenever then position opposite it-takes toward the sun
ὥστε τὰς αὐγὰς πανταχόθεν ἀνακοπτομένας ἀθροίζεσθαι καὶ
so-that the rays from-everywhere being-reflected to-gather and
συμπλέκεσθαι περὶ τὸ κέντρον, αὐτόν τε διακρίνει τὸν ἀέρα
to-interweave about the center itself both separates the air
λεπτυνόμενον, καὶ τὰ κουφότατα καὶ ξηρότατα τῶν
being-rarefied and the lightest and driest(-things) of-the(-things)
προστιθεμένων ὀξέως ἀνάπτει κατὰ τὴν ἀντέρεισιν, σῶμα
applied quickly kindles by the resistance body
καὶ πληγὴν πυρώδη τῆς αὐγῆς λαβούσης. ἔνιοι μὲν οὖν
and stroke fiery the ray having-taken some indeed then
οὐδὲν ὑπὸ τῶν ἱερῶν παρθένων ἀλλ' ἢ τὸ ἄσβεστον ἐκεῖνο
nothing by the sacred virgins but than the unquenchable that
φρουρεῖσθαι πῦρ νομίζουσιν· ἔνιοι δὲ εἶναί τινά φασιν ἀθέατα
to-be-guarded fire think some but to-be some say unseen
τοῖς ἄλλοις ἱερὰ κρυπτόμενα, περὶ ὧν ὅσα καὶ
by-the others sacred-objects hidden about which as-much-as both
πυθέσθαι καὶ φράσαι θεμιτὸν ἐν τῷ Καμίλλου βίῳ γέγραπται.
to-learn and to-tell lawful in the of-Camillus life has-been-written
10 Πρῶτον μὲν οὖν ὑπὸ Νομᾶ καθιερωθῆναι λέγουσι
first indeed then by Numa to-have-been-consecrated they-say
Γεγανίαν καὶ Βερηνίαν, δεύτερον δὲ Κανουληΐαν καὶ
Gegania and Verenia second and Canuleia and

Ταρπηΐαν· ὕστερον δὲ Σερβίου δύο προσθέντος ἄλλας τῷ
Tarpeia later and Servius two having-added others with-the
ἀριθμῷ διατηρεῖσθαι μέχρι τῶν χρόνων τούτων τὸ πλῆθος.
number to-be-maintained until the times these the number
ὡρίσθη δὲ ταῖς ἱεραῖς παρθένοις ὑπὸ τοῦ βασιλέως ἁγνεία
was-fixed and for-the sacred virgins by the king chastity
τριακονταέτις, ἐν ᾗ τὴν μὲν πρώτην δεκαετίαν ἃ χρὴ
of-thirty-years in which the indeed first decade what they-must
δρᾶν μανθάνουσι, τὴν δὲ μέσην ἃ μεμαθήκασι δρῶσι,
do they-learn the and middle what they-have-learned they-do
τὴν δὲ τρίτην ἑτέρας αὐταὶ διδάσκουσιν. εἶτα ἀνεῖται
the and third others they-themselves teach then it-is-permitted
τῇ βουλομένῃ μετὰ τὸν χρόνον τοῦτον ἤδη καὶ γάμου
to-the(-one) wishing after the time this already also of-marriage
μεταλαμβάνειν καὶ πρὸς ἕτερον τραπέσθαι βίον, ἀπαλλαγείσῃ
to-partake and to another to-turn life having-been-released
τῆς ἱερουργίας. λέγονται δὲ οὐ πολλαὶ ταύτην ἀσπάσασθαι
from-the sacred-service are-said and not many this to-have-welcomed
τὴν ἄδειαν, οὐδὲ ἀσπασαμέναις χρηστὰ πράγματα συντυχεῖν,
the license nor having-welcomed(-it) good things to-have-befallen
ἀλλὰ μετανοίᾳ καὶ κατηφείᾳ συνοῦσαι τὸν λοιπὸν βίον
but with-repentance and dejection living-with the rest life
ἐμβαλεῖν τὰς ἄλλας εἰς δεισιδαιμονίαν, ὥστε μέχρι γήρως
to-have-cast the others into superstition so-that until old-age
καὶ θανάτου διατελεῖν ἐγκαρτερούσας καὶ παρθενευομένας.
and death to-continue persevering and remaining-virgins
Τιμὰς δὲ μεγάλας ἀπέδωκεν αὐταῖς, ὧν ἔστι καὶ
honors and great he-gave to-them of-which is also
τὸ διαθέσθαι ζῶντος ἐξεῖναι πατρὸς καὶ τἆλλα
the to-make-a-will living to-be-permitted father and the-other(-things)
πράττειν ἄνευ προστάτου διαγούσας, ὥσπερ αἱ τρίπαιδες.
to-do without guardian living-out as the mothers-of-three

ῥαβδουχοῦνται δὲ προϊοῦσαι· κἂν ἀγομένῳ τινὶ πρὸς
they-are-attended-by-lictors and going-forth and-if being-led with-someone to
θάνατον αὐτομάτως συντύχωσιν, οὐκ ἀναιρεῖται. δεῖ
death by-chance they-meet not he-is-put-to-death it-is-needful
δὲ ἀπομόσαι τὴν παρθένον ἀκούσιον καὶ τυχαίαν καὶ οὐκ
and to-swear the virgin involuntary and accidental and not
ἐξεπίτηδες γεγονέναι τὴν ἀπάντησιν. ὁ δὲ ὑπελθὼν
intentional to-have-been the meeting he and having-gone-under
κομιζομένων ὑπὸ τὸ φορεῖον ἀποθνήσκει. κόλασις δὲ τῶν
them-being-carried under the litter dies punishment and of-the
μὲν ἄλλων ἁμαρτημάτων πληγαὶ ταῖς παρθένοις, τοῦ
indeed other offenses blows for-the virgins the
μεγίστου Ποντίφικος κολάζοντος ἔστιν ὅτε καὶ γυμνὴν τὴν
chief Pontifex punishing there-is when even naked the(-one)
πλημμελήσασαν, ὀθόνης ἐν παλινσκίῳ παρατεινομένης· ἡ
having-erred a-linen-cloth in shade being-stretched-in-front she
δὲ τὴν παρθενίαν καταισχύνασα ζῶσα κατορύττεται παρὰ
but the virginity having-disgraced alive is-buried by
τὴν Κολλίνην λεγομένην πύλην· ἐν ᾗ τις ἔστιν ἐντὸς
the Colline so-called gate in which a-certain there-is inside
τῆς πόλεως ὀφρὺς γεώδης παρατείνουσα πόρρω· καλεῖται
the city ridge earthy extending far is-called
δὲ χῶμα διαλέκτῳ τῇ Λατίνων. ἐνταῦθα κατασκευάζεται
and agger in-dialect the of-Latins here is-prepared
κατάγειος οἶκος οὐ μέγας, ἔχων ἄνωθεν κατάβασιν.
underground a-chamber not large having from-above descent
κεῖται δὲ ἐν αὐτῷ κλίνη τε ὑπεστρωμένη καὶ λύχνος
lies and in it a-couch both spread and a-lamp
καιόμενος, ἀπαρχαί τε τῶν πρὸς τὸ ζῆν ἀναγκαίων
burning first-fruits both of-the(-things) for the to-live necessary
βραχεῖαί τινες, οἷον ἄρτος, ὕδωρ ἐν ἀγγείῳ, γάλα, ἔλαιον,
small some such-as bread water in a-vessel milk oil

ὥσπερ ἀφοσιουμένων τὸ μὴ λιμῷ διαφθείρειν σῶμα
as-if absolving-themselves the not by-hunger to-destroy a-body
ταῖς μεγίσταις καθιερωμένον ἁγιστείαις. αὐτὴν δὲ τὴν
by-the greatest consecrated rites herself and the(-woman)
κολαζομένην εἰς φορεῖον ἐνθέμενοι καὶ καταστεγάσαντες
being-punished into a-litter having-put and having-covered-over
ἔξωθεν καὶ καταλαβόντες ἱμᾶσιν, ὡς μηδὲ φωνὴν
from-outside and having-fastened(-it) with-thongs so-that not-even a-voice
ἐξάκουστον γενέσθαι, κομίζουσι δι᾽ ἀγορᾶς. ἐξίστανται
audible to-be they-carry(-her) through the-forum stand-aside
δὲ πάντες σιωπῇ καὶ παραπέμπουσιν ἄφθογγοι μετά τινος
and all in-silence and escort(-her) speechless with some
δεινῆς κατηφείας· οὐδὲ ἐστὶν ἕτερον θέαμα φρικτότερον,
terrible dejection nor is other spectacle more-dreadful
οὐδ᾽ ἡμέραν ἡ πόλις ἄλλην ἄγει στυγνοτέραν ἐκείνης.
nor day the city another passes gloomier than-that
ὅταν δὲ πρὸς τὸν τόπον κομισθῇ τὸ φορεῖον, οἱ μὲν
when and to the place is-brought the litter the indeed
ὑπηρέται τοὺς δεσμοὺς ἐξέλυσαν, ὁ δὲ τῶν ἱερέων ἔξαρχος
attendants the bonds loosened the and of-the priests leader
εὐχάς τινας ἀπορρήτους ποιησάμενος καὶ χεῖρας ἀνατείνας
prayers some secret having-made and hands having-raised
θεοῖς πρὸ τῆς ἀνάγκης, ἐξάγει συγκεκαλυμμένην καὶ
to-the-gods before the dreadful-act leads(-her)-out veiled and
καθίστησιν ἐπὶ κλίμακος εἰς τὸ οἴκημα κάτω φερούσης.
sets(-her) on a-ladder into the chamber down leading
εἶτα αὐτὸς μὲν ἀποτρέπεται μετὰ τῶν ἄλλων ἱερέων· τῆς
then himself indeed turns-away with the other priests her
δὲ καταβάσης ἥ τε κλίμαξ ἀναιρεῖται καὶ κατακρύπτεται
and having-gone-down the both ladder is-removed and is-hidden
τὸ οἴκημα γῆς πολλῆς ἄνωθεν ἐπιφορουμένης, ὥστε
the chamber earth much from-above being-heaped-on so-that

ἰσόπεδον τῷ λοιπῷ χώματι γενέσθαι τὸν τόπον. οὕτω
level with-the rest mound to-become the place so
μὲν αἱ προέμεναι τὴν ἱερὰν παρθενίαν κολάζονται.
indeed those having-forsaken the sacred virginity are-punished

11 Νομᾶς δὲ λέγεται καὶ τὸ τῆς Ἑστίας ἱερὸν ἐγκύκλιον
Numa and is-said also the — of-Vesta temple circular
περιβαλέσθαι τῷ ἀσβέστῳ πυρὶ φρουράν, ἀπομιμούμενος οὐ
to-have-built-around for-the unquenchable fire a-guard imitating not
τὸ σχῆμα τῆς γῆς ὡς Ἑστίας οὔσης, ἀλλὰ τοῦ σύμπαντος
the shape of-the earth as Vesta being but of-the whole
κόσμου, οὗ μέσον οἱ Πυθαγορικοὶ τὸ πῦρ ἱδρῦσθαι
universe of-which middle the Pythagoreans the fire to-be-situated
νομίζουσι, καὶ τοῦτο Ἑστίαν καλοῦσι καὶ μονάδα· τὴν δὲ
think and this Vesta they-call and unit the but
γῆν οὔτε ἀκίνητον οὔτε ἐν μέσῳ τῆς περιφορᾶς οὖσαν,
earth neither motionless nor in middle of-the revolution being
ἀλλὰ κύκλῳ περὶ τὸ πῦρ αἰωρουμένην οὐ τῶν τιμιωτάτων
but in-a-circle about the fire swinging not of-the most-honored
οὐδὲ τῶν πρώτων τοῦ κόσμου μορίων ὑπάρχειν. ταῦτα
nor of-the first of-the universe parts to-be these-things
δὲ καὶ Πλάτωνά φασι πρεσβύτην γενόμενον διανενοῆσθαι
and also Plato they-say old having-become to-have-thought
περὶ τῆς γῆς ὡς ἐν ἑτέρᾳ χώρᾳ καθεστώσης, τὴν δὲ
about the earth as in another place being-situated the and
μέσην καὶ κυριωτάτην ἑτέρῳ τινὶ κρείττονι προσήκουσαν.
middle and most-sovereign to-another some better belonging

12 Οἱ δὲ Ποντίφικες καὶ τὰ περὶ τὰς ταφὰς πάτρια τοῖς
the and Pontifices also the(-rites) about the burials ancestral to-those
χρῄζουσιν ἀφηγοῦνται, Νομᾶ διδάξαντος μηδὲν ἡγεῖσθαι
needing explain Numa having-taught nothing to-consider
μίασμα τῶν τοιούτων, ἀλλὰ καὶ τοὺς ἐκεῖ θεοὺς σέβεσθαι
a-pollution of-the such(-things) but also the there gods to-revere

τοῖς νενομισμένοις, ὡς τὰ κυριώτατα τῶν ἡμετέρων
with-the customary(-honors) as the most-sovereign(-part) of-the our(-being)
ὑποδεχομένους· ἐξαιρέτως δὲ τὴν προσαγορευομένην
receiving especially and the so-called
Λιβίτιναν, ἐπίσκοπον τῶν περὶ τοὺς θνήσκοντας ὁσίων
Libitina overseer of-the about the dying rites
θεὸν οὖσαν, εἴτε Περσεφόνην εἴτε μᾶλλον, ὡς οἱ λογιώτατοι
a-goddess being either Persephone or rather as the most-learned
Ῥωμαίων ὑπολαμβάνουσιν, Ἀφροδίτην, οὐ κακῶς εἰς μιᾶς
of-Romans suppose Aphrodite not badly to of-one
δύναμιν θεοῦ τὰ περὶ τὰς γενέσεις καὶ τὰς τελευτὰς
power of-goddess the(-things) about the births and the deaths
ἀνάπτοντες. αὐτὸς δὲ καὶ τὰ πένθη καθ' ἡλικίας καὶ
connecting he-himself and also the mournings according-to ages and
χρόνους ἔταξεν· οἷον παῖδα μὴ πενθεῖν νεώτερον τριετοῦς,
times ordained such-as a-child not to-mourn younger than-three-years
μηδὲ πρεσβύτερον πλείονας μῆνας ὧν ἐβίωσεν ἐνιαυτῶν
nor older more months than-which he-lived years
μέχρι τῶν δέκα, καὶ περαιτέρω μηδεμίαν ἡλικίαν, ἀλλὰ τοῦ
until the ten and beyond no age but of-the
μακροτάτου πένθους χρόνον εἶναι δεκαμηνιαῖον, ἐφ' ὅσον
longest mourning time to-be of-ten-months for as-long-as
καὶ χηρεύουσιν αἱ τῶν ἀποθανόντων γυναῖκες. ἡ δὲ πρότερον
also are-widowed the of-the dead wives she and before
γαμηθεῖσα βοῦν ἐγκύμονα κατέθυεν ἐκείνου νομοθετήσαντος.
married a-cow pregnant sacrificed that(-man) having-legislated(-it)
Πολλὰς δὲ καὶ ἄλλας Νομᾶ καταδείξαντος ἱερωσύνας ἔτι
many and also other Numa having-instituted priesthoods still
δυεῖν μνησθήσομαι, τῆς τε Σαλίων καὶ τῆς τῶν Φιτιαλέων,
two I-shall-mention that both of-Salii and that of-the Fetiales
αἱ μάλιστα τὴν εὐσέβειαν τοῦ ἀνδρὸς ἐμφαίνουσιν. οἱ μὲν
which most the piety of-the man show the indeed

γὰρ Φιτιαλεῖς εἰρηνοφύλακές τινες ὄντες, ὡς δ' ἐμοὶ δοκεῖ,
for Fetiales peace-guardians some being as but to-me seems
καὶ τοὔνομα λαβόντες ἀπὸ τῆς πράξεως, λόγῳ τὰ νείκη
also the-name having-taken from the function by-speech the quarrels
κατέπαυον, οὐκ ἐῶντες στρατεύειν πρότερον ἢ πᾶσαν
they-stopped not allowing to-march before than every
ἐλπίδα δίκης ἀποκοπῆναι. καὶ γὰρ εἰρήνην Ἕλληνες καλοῦσιν
hope of-justice to-be-cut-off and for peace Greeks call
ὅταν λόγῳ, μὴ βίᾳ, πρὸς ἀλλήλους χρώμενοι λύσωσι τὰς
whenever by-speech not by-force toward one-another using(-it) they-resolve the
διαφοράς. οἱ δὲ Ῥωμαίων Φιτιαλεῖς πολλάκις μὲν ἐβάδιζον
differences the but of-Romans Fetiales often indeed went
ὡς τοὺς ἀδικοῦντας αὐτοὶ πείθοντες εὐγνωμονεῖν·
to those doing-wrong themselves persuading(-them) to-be-reasonable
ἀγνωμονούντων δὲ μαρτυράμενοι θεούς, καὶ κατευξάμενοι
being-unreasonable and calling-to-witness gods and having-invoked
πολλὰ καὶ δεινὰ καθ' αὐτῶν αὐτοὶ καὶ τῆς πατρίδος
many and terrible(-things) against themselves themselves and the fatherland
εἰ μὴ δικαίως ἐπεξίασιν, οὕτω κατήγγελλον αὐτοῖς τὸν
if not justly they-take-the-field so they-declared to-them the
πόλεμον. κωλυόντων δὲ τούτων ἢ μὴ συναινούντων, οὔτε
war forbidding and these or not consenting neither
στρατιώτῃ θεμιτὸν οὔτε βασιλεῖ Ῥωμαίων ὅπλα κινεῖν,
for-a-soldier lawful nor for-a-king of-Romans arms to-take-up
ἀλλὰ παρὰ τούτων ἔδει τὴν ἀρχὴν τοῦ πολέμου
but from these it-was-necessary the beginning of-the war
δεξάμενον ὡς δικαίου τὸν ἄρχοντα, τότε σκοπεῖν περὶ
having-received as of-a-just(-war) the ruler then to-consider about
τοῦ συμφέροντος. λέγεται δὲ καὶ τὸ Κελτικὸν ἐκεῖνο πάθος
the advantage it-is-said and also the Celtic that disaster
τῇ πόλει γενέσθαι τούτων τῶν ἱερέων παρανομηθέντων.
to-the city to-have-happened these the priests having-been-wronged

Ἔτυχον μὲν γὰρ οἱ βάρβαροι Κλουσίνους πολιορκοῦντες·
happened indeed for the barbarians Clusians besieging
ἐπέμφθη δὲ πρεσβευτὴς Φάβιος Ἄμβουστος εἰς τὸ
was-sent and an-envoy Fabius Ambustus to the
στρατόπεδον διαλύσεις πράξων ὑπὲρ τῶν πολιορκουμένων.
camp terms to-negotiate on-behalf-of the besieged
λαβὼν δὲ ἀποκρίσεις οὐκ ἐπιεικεῖς καὶ πέρας σχεῖν
having-received and answers not reasonable and an-end to-have
αὐτῷ τὴν πρεσβείαν οἰόμενος, ἐνεανιεύσατο πρὸ τῶν
to-him the embassy thinking he-acted-rashly before the
Κλουσίνων ὅπλα λαβὼν προκαλέσασθαι τὸν ἀριστεύοντα
Clusians arms having-taken to-challenge the champion
τῶν βαρβάρων. τὰ μὲν οὖν τῆς μάχης εὐτυχεῖτο
of-the barbarians the(-things) indeed then of-the combat went-well
καὶ καταβαλὼν ἐσκύλευσε τὸν ἄνδρα· γνωρίσαντες
and having-thrown(-him) he-despoiled the man having-recognized(-him)
δὲ οἱ Κελτοὶ πέμπουσιν εἰς Ῥώμην κήρυκα τοῦ Φαβίου
and the Celts send to Rome a-herald — Fabius
κατηγοροῦντες ὡς ἐκσπόνδου καὶ ἀπίστου καὶ ἀκατάγγελτον
accusing as a-truce-breaker and faithless and undeclared
ἐξενηνοχότος πρὸς αὐτοὺς πόλεμον. ἐνταῦθα τὴν μὲν
having-brought against them war then the indeed
σύγκλητον οἱ Φιτιαλεῖς ἔπειθον ἐκδιδόναι τὸν ἄνδρα τοῖς
senate the Fetiales urged to-hand-over the man to-the
Κελτοῖς, καταφυγὼν δὲ ἐκεῖνος εἰς τοὺς πολλοὺς καὶ
Celts having-fled but he to the many and
τῷ δήμῳ σπουδάζοντι χρησάμενος διεκρούσατο τὴν
the people being-zealous(-for-him) having-used he-evaded the
δίκην. μετ᾽ ὀλίγον δὲ ἐπελθόντες οἱ Κελτοὶ τὴν Ῥώμην
punishment after little but having-come the Celts — Rome

πλὴν τοῦ Καπιτωλίου διεπόρθησαν. ἀλλὰ ταῦτα μὲν
except — Capitol sacked but these-things indeed
ἐν τοῖς περὶ Καμίλλου μᾶλλον ἀκριβοῦται.
in the(-chapters) about Camillus more are-set-out-accurately

IV · THE SHIELDS AND THE PRECEPTS

In a pestilence a bronze shield falls from heaven; Numa has eleven copies made by Mamurius and appoints the Salii to guard them and dance in arms. He builds the Regia and makes the people attend their rites in silence. His precepts resemble Pythagoras'. Stories show his hold on the city: a feast that turns rich, Picus and Faunus caught with wine, and a charm against thunderbolts won from Zeus. He founds temples of Faith and Terminus and divides the land.

13 Τοὺς δὲ Σαλίους ἱερεῖς ἐκ τοιαύτης λέγεται συστήσασθαι
the and Salian priests from such it-is-said to-have-instituted
προφάσεως. ἔτος ὄγδοον αὐτοῦ βασιλεύοντος λοιμώδης
a-reason year eighth his reigning a-pestilential
νόσος περιϊοῦσα τὴν Ἰταλίαν ἐστρόβησε καὶ τὴν Ῥώμην.
disease going-about — Italy distressed also — Rome
ἀθυμούντων δὲ τῶν ἀνθρώπων ἱστορεῖται χαλκῆν πέλτην
being-despondent and the people it-is-recorded a-bronze shield
ἐξ οὐρανοῦ καταφερομένην εἰς τὰς Νομᾶ πεσεῖν χεῖρας.
from heaven coming-down into the of-Numa to-have-fallen hands
ἐπὶ δὲ αὐτῇ θαυμάσιόν τινα λόγον λέγεσθαι ὑπὸ τοῦ
about and it wonderful some account to-have-been-told by the
βασιλέως, ὃν Ἠγερίας τε καὶ τῶν Μουσῶν πυθέσθαι.
king which from-Egeria both and the Muses to-have-learned
τὸ μὲν γὰρ ὅπλον ἥκειν ἐπὶ σωτηρίᾳ τῆς πόλεως,
the indeed for weapon to-have-come for safety of-the city
καὶ δεῖν αὐτὸ φρουρεῖσθαι γενομένων ἄλλων ἕνδεκα
and it-needful it to-be-guarded having-been-made other eleven

καὶ σχῆμα καὶ μέγεθος καὶ μορφὴν ἐκείνῳ παραπλησίων,
both in-shape and size and form to-that like
ὅπως ἄπορον εἴη τῷ κλέπτῃ δι᾽ ὁμοιότητα τοῦ
so-that hard it-would-be for-the thief through likeness the
διοπετοῦς ἐπιτυχεῖν· ἔτι δὲ χρῆναι Μούσαις καθιερῶσαι
heaven-fallen(-one) to-hit-upon further and it-necessary to-Muses to-consecrate
τὸ χωρίον ἐκεῖνο καὶ τοὺς περὶ αὐτὸ λειμῶνας, ὅπου τὰ
the place that and the about it meadows where the
πολλὰ φοιτῶσαι συνδιατρίβουσιν αὐτῷ. τὴν δὲ πηγὴν ἣ
most-part coming they-spend-time-with him the and spring which
κατάρδει τὸ χωρίον, ὕδωρ ἱερὸν ἀποδεῖξαι ταῖς Ἑστιάσι
waters the place water holy to-declare for-the Vestal
παρθένοις, ὅπως λαμβάνουσαι καθ᾽ ἡμέραν ἁγνίζωσι
virgins so-that taking(-it) by day they-might-purify
καὶ ῥαίνωσι τὸ ἀνάκτορον. τούτοις μὲν οὖν μαρτυρῆσαι
and sprinkle the shrine to-these indeed then to-have-borne-witness
λέγουσι καὶ τὰ τῆς νόσου παραχρῆμα παυσάμενα.
they-say also the(-things) of-the disease at-once having-ceased
τὴν δὲ πέλτην προθέντος αὐτοῦ καὶ κελεύσαντος
the and shield having-set-forth him and having-bidden
ἁμιλλᾶσθαι τοὺς τεχνίτας ὑπὲρ τῆς ὁμοιότητος, τοὺς μὲν
to-compete the craftsmen for the likeness the indeed
ἄλλους ἀπειπεῖν, Οὐετούριον δὲ Μαμούριον ἕνα τῶν
others to-have-given-up Veturius but Mamurius one of-the
ἄκρων δημιουργῶν οὕτως ἐφικέσθαι τῆς ἐμφερείας, καὶ
foremost craftsmen so to-have-attained the resemblance and
κατασκευάσαι πάσας ὁμοίας, ὥστε μηδ᾽ αὐτὸν ἔτι τὸν
to-have-made all alike so-that not-even himself any-longer —
Νομᾶν διαγινώσκειν. τούτων οὖν φύλακας καὶ ἀμφιπόλους
Numa to-distinguish(-them) of-these then guards and attendants
ἀπέδειξε τοὺς Σαλίους ἱερεῖς. Σάλιοι δὲ ἐκλήθησαν, οὐχ,
he-appointed the Salian priests Salii and were-called not

ὡς ἔνιοι μυθολογοῦσι, Σαμόθρᾳκος ἀνδρὸς ἢ Μαντινέως,
as some tell-in-myth of-a-Samothracian man or Mantinean
ὄνομα Σαλίου, πρώτου τὴν ἐνόπλιον ἐκδιδάξαντος ὄρχησιν,
named Salius first the armed having-taught dance
ἀλλὰ μᾶλλον ἀπὸ τῆς ὀρχήσεως αὐτῆς, ἁλτικῆς οὔσης, ἣν
but rather from the dance itself leaping being which
ὑπορχοῦνται διαπορευόμενοι τὴν πόλιν, ὅταν τὰς ἱερὰς
they-dance going-through the city whenever the sacred
πέλτας ἀναλάβωσιν ἐν τῷ Μαρτίῳ μηνί, φοινικοῦς μὲν
shields they-take-up in the March month purple indeed
ἐνδεδυμένοι χιτωνίσκους, μίτραις δὲ χαλκαῖς ἐπεζωσμένοι
having-put-on short-tunics with-belts and bronze girded
πλατείαις καὶ κράνη χαλκᾶ φοροῦντες, ἐγχειριδίοις δὲ
broad and helmets bronze wearing with-daggers and
μικροῖς τὰ ὅπλα κρούοντες. ἡ δὲ ἄλλη τῆς ὀρχήσεως
small the arms striking the and rest of-the dance
ποδῶν ἔργον ἐστί· κινοῦνται γὰρ ἐπιτερπῶς, ἑλιγμούς τινας
of-the-feet work is they-move for charmingly whirls some
καὶ μεταβολὰς ἐν ῥυθμῷ τάχος ἔχοντι καὶ πυκνότητα
and changes in rhythm speed having and frequency
μετὰ ῥώμης καὶ κουφότητος ἀποδιδόντες.
with vigor and lightness rendering
Αὐτὰς δὲ τὰς πέλτας ἀγκύλια καλοῦσι διὰ τὸ σχῆμα·
themselves and the shields ancilia they-call because-of the shape
κύκλος γὰρ οὐκ ἔστιν οὐδὲ ἀποδίδωσιν, ὡς πέλτη, τὴν
a-circle for not it-is nor renders as a-shield the
περιφέρειαν, ἀλλ᾽ ἐκτομὴν ἔχει γραμμῆς ἑλικοειδοῦς, ἧς
circumference but a-cutting it-has of-a-line spiral whose
αἱ κεραῖαι καμπὰς ἔχουσαι καὶ συνεπιστρέφουσαι τῇ
the ends bends having and turning-back-together by-the
πυκνότητι πρὸς ἀλλήλας ἀγκύλον τὸ σχῆμα ποιοῦσιν· ἢ
thickness toward one-another curved the shape make or

διὰ τὸν ἀγκῶνα περὶ ὃν περιφέρονται. ταῦτα γὰρ ὁ
because-of the elbow around which they-are-carried these-things for —
Ἰόβας εἴρηκε γλιχόμενος ἐξελληνίσαι τοὔνομα. δύναιτο δ'
Juba has-said eager to-Hellenize the-name might but
ἂν τῆς ἀνέκαθεν φορᾶς πρῶτον ἐπώνυμον γεγονέναι, καὶ
— of-the from-above descent first named to-have-been and
τῆς ἀκέσεως τῶν νοσούντων, καὶ τῆς τῶν αὐχμῶν λύσεως,
of-the healing of-the sick and of-the of-the droughts ending
ἔτι δὲ τῆς τῶν δεινῶν ἀνασχέσεως, καθ' ὃ καὶ τοὺς
further and of-the of-the terrors cessation according-to which also the
Διοσκούρους Ἄνακας Ἀθηναῖοι προσηγόρευσαν, εἴ γε
Dioscuri Anaces Athenians called if at-least
δεῖ πρὸς τὴν Ἑλληνικὴν διάλεκτον ἐξάγειν τοὔνομα.
it-is-needful to the Greek dialect to-bring-over the-name
Τῷ δὲ Μαμουρίῳ λέγουσι μισθὸν γενέσθαι τῆς τέχνης
— and to-Mamurius they-say a-reward to-have-been of-the art
ἐκείνης μνήμην τινὰ δι' ᾠδῆς ὑπὸ τῶν Σαλίων
that a-remembrance some through song by the Salii
ἅμα τῇ πυρρίχῃ διαπεραινομένης. οἱ δὲ οὐ
together-with the war-dance being-performed the(-others) but not
Οὐετούριον Μαμούριον εἶναί φασι τὸν ᾀδόμενον, ἀλλὰ
Veturius Mamurius to-be say the(-one) sung but
οὐετέρεμ μεμορίαμ, ὅπερ ἐστί, παλαιὰν μνήμην.
veterem memoriam which is old memory
Ἐπεὶ δὲ διεκόσμησε τὰς ἱερωσύνας, ἐδείματο πλησίον τοῦ 14
when and he-had-arranged the priesthoods he-built near the
τῆς Ἑστίας ἱεροῦ τὴν καλουμένην Ῥηγίαν, οἷόν τι
— of-Vesta temple the so-called Regia as-it-were some
βασίλειον οἴκημα· καὶ τὸ πλεῖστον αὐτόθι τοῦ χρόνου
royal dwelling and the most there of-the time
διέτριβεν ἱερουργῶν ἢ διδάσκων τοὺς ἱερεῖς ἢ πρὸς
he-spent sacrificing or teaching the priests or in

ἐννοίᾳ τινὶ τῶν θείων πρὸς αὐτὸν σχολάζων. οἰκίαν
contemplation some of-the divine(-things) by himself being-at-leisure a-house
δ' εἶχεν ἑτέραν περὶ τὸν Κυρίνου λόφον, ἧς ἔτι νῦν τὸν
and he-had another about the of-Quirinus hill of-which still now the
τόπον ἐπιδεικνύουσιν. ἐν δὲ ταῖς προπομπαῖς καὶ ὅλως
place they-show in and the escorts and in-general
τῶν ἱερέων ταῖς πομπαῖς προηγοῦντο κήρυκες ἀνὰ τὴν
of-the priests the processions went-before heralds through the
πόλιν ἐλινύειν κελεύοντες καὶ τὰ ἔργα καταπαύοντες.
city to-keep-holiday ordering and the works stopping
ὡς γάρ φασι τοὺς Πυθαγορικοὺς οὐκ ἐᾶν ἐκ παρόδου
as for they-say the Pythagoreans not to-allow in passing
προσκυνεῖν καὶ προσεύχεσθαι τοῖς θεοῖς, ἀλλ' οἴκοθεν
to-worship and to-pray to-the gods but from-home
εὐθὺς ἐπὶ τοῦτο γνώμῃ παρεσκευασμένους βαδίζειν, οὕτως
straightaway for this in-mind prepared to-go so
ᾤετο Νομᾶς χρῆναι τοὺς πολίτας μήτε ἀκούειν τι τῶν
thought Numa it-necessary the citizens neither to-hear anything of-the
θείων μήτε ὁρᾶν ἐν παρέργῳ καὶ ἀμελῶς, ἀλλὰ σχολὴν
divine(-things) nor to-see in a-side-matter and carelessly but leisure
ἄγοντας ἀπὸ τῶν ἄλλων καὶ προσέχοντας τὴν διάνοιαν
having from the other(-things) and applying the mind
ὡς πράξει μεγίστῃ τῇ περὶ τὴν εὐσέβειαν, ψόφων τε
as to-an-action greatest the about the piety of-noises both
καὶ πατάγων καὶ στεναγμῶν, καὶ ὅσα τοιαῦτα τοῖς
and clatterings and groanings and whatever such to-the
ἀναγκαίοις καὶ βαναύσοις πόνοις ἕπεται, καθαρὰς τὰς ὁδοὺς
necessary and mechanical labors attend clear the streets
ταῖς ἱερουργίαις παρέχοντας. ὧν ἴχνος τι μέχρι νῦν
for-the rites providing of-which trace some until now
διασώζοντες, ὅταν ἄρχων πρὸς ὄρνισιν ἢ θυσίαις διατρίβῃ,
preserving whenever a-magistrate with auspices or sacrifices is-busy

βοῶσιν "Ὄκ ἄγε·" σημαίνει δὲ ἡ φωνὴ "Τοῦτο πρᾶσσε,"
they-shout Hoc age signifies and the phrase this do
συνεπιστρέφουσα καὶ κατακοσμοῦσα τοὺς προστυγχάνοντας.
turning(-them) and composing those meeting(-it)
Ἦν δὲ καὶ τῶν ἄλλων παραγγελμάτων αὐτοῦ πολλὰ
there-were and also of-the other precepts his many
τοῖς Πυθαγορικοῖς ἐοικότα. ὡς γὰρ ἐκεῖνοι παρήνουν ἐπὶ
to-the Pythagorean(-ones) like as for they exhorted on
χοίνικος μὴ καθῆσθαι, καὶ μαχαίρᾳ πῦρ μὴ σκαλεύειν, καὶ
a-measure not to-sit and with-a-knife fire not to-stir and
βαδίζοντας εἰς ἀποδημίας μὴ μεταστρέφεσθαι, καὶ τοῖς μὲν
going on journeys not to-turn-around and to-the indeed
οὐρανίοις περισσὰ θύειν, ἄρτια δὲ τοῖς χθονίοις,
heavenly(-gods) odd(-numbers) to-sacrifice even(-numbers) and to-the earthly(-gods)
ὧν ἑκάστου τὴν διάνοιαν ἀπεκρύπτοντο πρὸς τοὺς
of-which of-each the meaning they-concealed from the
πολλούς, οὕτως ἔνια τῶν Νομᾶ πατρίων ἀπόρρητον
many so some of-the of-Numa ancestral(-customs) secret
ἔχει τὸν λόγον· οἷον τὸ μὴ σπένδειν θεοῖς ἐξ ἀμπέλων
has the reason such-as the not to-pour-libations to-gods from vines
ἀτμήτων μηδὲ θύειν ἄτερ ἀλφίτων· καὶ τὸ προσκυνεῖν
unpruned nor to-sacrifice without barley-meal and the to-worship
περιστρεφομένους καὶ τὸ καθῆσθαι προσκυνήσαντας. τὰ μὲν
turning-around and the to-sit having-worshiped the indeed
οὖν πρῶτα δύο τὴν γῆς ἐξημέρωσιν ἔοικε διδάσκειν,
then first two the of-the-earth taming seem to-teach
ὡς μόριον εὐσεβείας οὖσαν· ἡ δὲ περιστροφὴ τῶν
as part of-piety being the and turning-around of-the(-men)
προσκυνούντων λέγεται μὲν ἀπομίμησις εἶναι τῆς τοῦ
worshiping is-said indeed an-imitation to-be of-the of-the
κόσμου περιφορᾶς, δόξειε δ' ἂν μᾶλλον ὁ προσκυνῶν,
universe revolution might-seem but — rather the(-man) worshiping

ἐπεὶ πρὸς ἕω τῶν ἱερῶν βλεπόντων ἀπέστραπται τὰς
since toward dawn the temples facing has-his-back-to the
ἀνατολάς, μεταβάλλειν ἑαυτὸν ἐνταῦθα καὶ περιστρέφειν ἐπὶ
east to-turn himself there and to-turn-around to
τὸν θεόν, κύκλον ποιῶν καὶ συνάπτων τὴν ἐπιτελείωσιν τῆς
the god a-circle making and joining the completion of-the
εὐχῆς δι' ἀμφοῖν· εἰ μὴ νὴ Δία τοῖς Αἰγυπτίοις τροχοῖς
prayer through both if not by Zeus to-the Egyptian wheels
αἰνίττεταί τι καὶ διδάσκει παραπλήσιον ἡ μεταβολὴ
it-hints something and teaches similar the change
τοῦ σχήματος, ὡς οὐδενὸς ἑστῶτος τῶν ἀνθρωπίνων,
of-the posture as nothing standing-still of-the human(-things)
ἀλλ' ὅπως ἂν στρέφῃ καὶ ἀνελίττῃ τὸν βίον ἡμῶν ὁ
but as-ever — turns and unwinds the life our the
θεός, ἀγαπᾶν καὶ δέχεσθαι προσῆκον. τὸ δὲ καθέζεσθαι
god to-be-content and to-accept fitting(-it-is) the and to-sit
προσκυνήσαντας οἰωνισμὸν εἶναι λέγουσι τοῦ βεβαιότητα
having-worshiped an-omen to-be they-say of-the firmness
ταῖς εὐχαῖς καὶ διαμονὴν τοῖς ἀγαθοῖς ἐπιγίνεσθαι. λέγουσι
for-the prayers and permanence for-the blessings to-come they-say
δὲ καὶ πράξεων διορισμὸν εἶναι τὴν ἀνάπαυσιν· ὡς
and also of-actions a-separation to-be the rest as
οὖν τῇ προτέρᾳ πράξει πέρας ἐπιτιθέντας καθέζεσθαι
then on-the former action an-end putting to-sit
παρὰ τοῖς θεοῖς, ἵνα ἑτέρας πάλιν ἀρχὴν παρ' ἐκείνων
before the gods so-that of-another again a-beginning from them
λάβωσι. δύναται δὲ καὶ τοῦτο τοῖς εἰρημένοις
they-may-take is-able and also this with-the(-things) said
ὁμολογεῖν, ἐθίζοντος ἡμᾶς τοῦ νομοθέτου μὴ ποιεῖσθαι τὰς
to-agree accustoming us the lawgiver not to-make the

πρὸς τὸ θεῖον ἐντεύξεις ἐν ἀσχολίᾳ καὶ παρέργως οἷον
to the divine approaches in busyness and by-the-way as-if
σπεύδοντας, ἀλλ᾽ ὅταν χρόνον ἔχωμεν καὶ σχολὴν ἄγωμεν.
hurrying but whenever time we-have and leisure we-keep
Ἐκ δὲ τῆς τοιαύτης παιδαγωγίας πρὸς τὸ θεῖον οὕτως 15
from and the such training toward the divine so
ἡ πόλις ἐγεγόνει χειροήθης καὶ κατατεθαμβημένη τὴν
the city had-become tractable and awestruck-at the
τοῦ Νομᾶ δύναμιν, ὥστε μύθοις ἐοικότας τὴν ἀτοπίαν
— of-Numa power so-that to-myths like in-the absurdity
λόγους παραδέχεσθαι, καὶ νομίζειν μηδὲν ἄπιστον εἶναι
stories to-accept and to-think nothing incredible to-be
μηδὲ ἀμήχανον ἐκείνου βουληθέντος. λέγεται γοῦν ποτε
nor impossible he having-wished it-is-said at-any-rate once
καλέσας ἐπὶ τὴν τράπεζαν οὐκ ὀλίγους τῶν πολιτῶν,
having-invited to the table not few of-the citizens
σκεύη τε φαῦλα καὶ δεῖπνον εὐτελὲς πάνυ προθέσθαι
vessels both mean and a-supper cheap very to-have-set-before(-them)
καὶ δημοτικόν· ἀρξαμένων δὲ δειπνεῖν ἐμβαλὼν λόγον
and plebeian having-begun and to-dine having-thrown-in a-remark
ὡς ἡ θεὸς ᾗ σύνεστιν ἥκοι πρὸς αὐτόν, αἰφνίδιον
that the goddess with-whom he-consorts had-come to him suddenly
ἐπιδεῖξαι τόν τε οἶκον ἐκπωμάτων πλήρη πολυτελῶν καὶ
to-have-shown the both house of-cups full costly and
τὰς τραπέζας ὄψων τε παντοδαπῶν καὶ παρασκευῆς
the tables with-relishes both of-all-kinds and of-provision
δαψιλοῦς γεμούσας. πᾶσαν δὲ ὑπερβέβληκεν ἀτοπίαν τὸ
abundant laden all but has-surpassed absurdity the(-story)
ὑπὲρ τῆς τοῦ Διὸς ὁμιλίας ἱστορούμενον. μυθολογοῦσι γὰρ
about the — of-Zeus converse recorded they-tell-in-myth for
εἰς τὸν Ἀβεντῖνον λόφον οὔπω μέρος ὄντα τῆς πόλεως
onto the Aventine hill not-yet part being of-the city

οὐδὲ συνοικούμενον, ἀλλ᾽ ἔχοντα πηγάς τε δαψιλεῖς ἐν
nor inhabited but having springs both abundant in
αὐτῷ καὶ νάπας σκιεράς, φοιτᾶν δύο δαίμονας, Πῖκον
it and glens shady to-have-frequented two divinities Picus
καὶ Φαῦνον· οὓς τὰ μὲν ἄλλα Σατύρων ἄν τις
and Faunus whom in-the indeed other(-respects) of-Satyrs — one
ἢ Πανῶν γένει προσεικάσειε, δυνάμει δὲ φαρμάκων
or of-Pans to-the-race might-liken in-power but of-drugs
καὶ δεινότητι τῆς περὶ τὰ θεῖα γοητείας λέγονται
and cleverness of-the about the divine(-things) sorcery they-are-said
ταὐτὰ τοῖς ὑφ᾽ Ἑλλήνων προσαγορευθεῖσιν Ἰδαίοις
the-same(-things) as-those by Greeks called Idaean
Δακτύλοις σοφιζόμενοι περιϊέναι τὴν Ἰταλίαν. τούτους φασὶ
Dactyls practicing-tricks to-go-about — Italy these they-say
χειρώσασθαι τὸν Νομᾶν, οἴνῳ καὶ μέλιτι κεράσαντα τὴν
to-have-subdued — Numa with-wine and honey having-mixed the
κρήνην ἀφ᾽ ἧς ἔπινον συνήθως. ληφθέντας δὲ πολλὰς
spring from which they-drank habitually having-been-caught and many
μὲν ἰδέας τρέπεσθαι καὶ μετεκδύεσθαι τὴν αὐτῶν φύσιν,
indeed forms to-have-turned-into and to-have-changed the their nature
ἀλλόκοτα φάσματα καὶ φοβερὰ τῆς ὄψεως προβαλλομένους·
strange apparitions and fearful of-the sight putting-forth
ἐπεὶ δὲ ἔγνωσαν ἑαλωκότες ἰσχυρὰν καὶ ἄφυκτον ἅλωσιν,
when but they-knew having-been-caught strong and inescapable capture
ἄλλα τε προθεσπίσαι πολλὰ τῶν μελλόντων καὶ τὸν
other-things both to-have-foretold many of-the future(-things) and the
ἐπὶ τοῖς κεραυνοῖς ἐκδιδάξαι καθαρμόν, ὃς ποιεῖται μέχρι
for the thunderbolts to-have-taught purification which is-made until
νῦν διὰ κρομμύων καὶ τριχῶν καὶ μαινίδων. ἔνιοι δὲ
now with onions and hairs and sprats some but
οὐ τοὺς δαίμονάς φασιν ὑποθέσθαι τὸν καθαρμόν, ἀλλ᾽
not the divinities say to-have-suggested the purification but

ἐκείνους μὲν καταγαγεῖν τὸν Δία μαγεύσαντας, τὸν
those indeed to-have-brought-down — Zeus having-bewitched(-him) the
δὲ θεὸν ὀργιζόμενον τῷ Νομᾷ προστάσσειν ὡς χρὴ
and god being-angry — with-Numa to-command that it-is-necessary
γενέσθαι τὸν καθαρμὸν κεφαλαῖς· ὑπολαβόντος δὲ τοῦ
to-take-place the purification with-heads having-interrupted and —
Νομᾶ, "κρομμύων;" εἰπεῖν, "ἀνθρώπων·" τὸν δὲ αὖθις
Numa of-onions to-have-said of-men the(-one) and again
ἐκτρέποντα τὸ τοῦ προστάγματος δεινὸν ἐπερέσθαι,
diverting the of-the command terrible(-part) to-have-asked-further
"θριξίν;" ἀποκριναμένου δὲ τοῦ Διός, "ἐμψύχοις," ἐπαγαγεῖν
with-hairs having-answered and — Zeus with-living to-have-added
τὸν Νομᾶν, "μαινίσι;" ταῦτα λέγειν ὑπὸ τῆς Ἠγερίας
— Numa with-sprats these-things to-say by — Egeria
δεδιδαγμένον. καὶ τὸν μὲν θεὸν ἀπελθεῖν ἵλεω γενόμενον,
having-been-taught and the indeed god to-have-departed propitious having-become
τὸν δὲ τόπον Ἰλίκιον ἀπ' ἐκείνου προσαγορευθῆναι καὶ τὸν
the and place Ilicium from that to-have-been-called and the
καθαρμὸν οὕτω συντελεῖσθαι. ταῦτα μὲν οὖν τὰ μυθώδη καὶ
purification so to-be-performed these-things indeed then the fabulous and
γελοῖα τὴν τῶν τότε ἀνθρώπων ἐπιδείκνυται διάθεσιν πρὸς
ridiculous the of-the then men shows disposition toward
τὸ θεῖον, ἣν ὁ ἐθισμὸς αὐτοῖς ἐνεποίησεν. αὐτὸν δὲ τὸν
the divine which the habituation in-them produced himself and —
Νομᾶν οὕτω φασὶν εἰς τὸ θεῖον ἀνηρτῆσθαι ταῖς ἐλπίσιν,
Numa so they-say on the divine to-have-hung with-the hopes
ὥστε καὶ προσαγγελίας αὐτῷ ποτε γενομένης ὡς ἐπέρχονται
so-that even a-message to-him once having-come that are-approaching
πολέμιοι, μειδιᾶσαι καὶ εἰπεῖν· "Ἐγὼ δὲ θύω."
enemies to-have-smiled and to-have-said I but am-sacrificing

16 Πρῶτον δέ φασι καὶ Πίστεως καὶ Τέρμονος ἱερὸν
first and they-say both of-Faith and of-Terminus a-temple
ἱδρύσασθαι. καὶ τὴν μὲν Πίστιν ὅρκον ἀποδεῖξαι Ῥωμαίοις
to-have-founded and — indeed Faith oath to-have-made for-Romans
μέγιστον, ᾧ χρώμενοι μέχρι νῦν διατελοῦσιν· ὁ δὲ Τέρμων
greatest which using until now they-continue — and Terminus
ὅρος ἄν τις εἴη, καὶ θύουσιν αὐτῷ δημοσίᾳ καὶ ἰδίᾳ
boundary — one would-be and they-sacrifice to-him publicly and privately
κατὰ τοὺς τῶν ἀγρῶν περιορισμούς, νῦν μὲν ἔμψυχα, τὸ
at the of-the fields boundaries now indeed living(-victims) the
παλαιὸν δὲ ἀναίμακτος ἦν ἡ θυσία, Νομᾶ φιλοσοφήσαντος
of-old but bloodless was the sacrifice Numa having-reasoned
ὡς χρὴ τὸν ὅριον θεὸν εἰρήνης φύλακα καὶ δικαιοσύνης
that it-is-necessary the boundary god of-peace guardian and of-justice
μάρτυν ὄντα φόνου καθαρὸν εἶναι. δοκεῖ δὲ καὶ ὅλως
witness being of-murder pure to-be seems and also in-general
οὗτος ὁρίσαι τὴν χώραν ὁ βασιλεύς, Ῥωμύλου μὴ
this(-man) to-have-defined the territory the king Romulus not
βουληθέντος ἐξομολογήσασθαι τῷ μέτρῳ τοῦ οἰκείου τὴν
having-wished to-admit by-the measure of-the own(-land) the
ἀφαίρεσιν τοῦ ἀλλοτρίου· δεσμὸν γὰρ εἶναι τῆς δυνάμεως
taking of-the others' a-bond for to-be of-the power
τὸν ὅρον, ἂν φυλάττηται, μὴ φυλαττόμενον δὲ τῆς ἀδικίας
the boundary if it-be-observed not observed and of-the injustice
ἔλεγχον. οὐ μὴν οὐδὲ ἦν δαψιλὴς χώρα τῇ πόλει κατ'
a-proof not indeed not-even was abundant land to-the city at
ἀρχάς, ἀλλὰ τὴν πολλὴν αἰχμῇ προσεκτήσατο Ῥωμύλος·
beginnings but the most by-spear acquired Romulus
καὶ ταύτην πᾶσαν ὁ Νομᾶς διένειμε τοῖς ἀπόροις τῶν
and this all — Numa distributed to-the needy of-the
πολιτῶν, ὡς ἀνάγκην τῆς ἀδικίας ἀφαιρῶν τὴν ἀπορίαν,
citizens as necessity of-the injustice removing the want

καὶ τρέπων ἐπὶ γεωργίαν τὸν δῆμον ἅμα τῇ χώρᾳ
and turning to farming the people together-with the land
συνεξημερούμενον. οὐδὲν γὰρ ἄλλο τῶν ἐπιτηδευμάτων
being-tamed nothing for other of-the pursuits
οὕτως ἔρωτα δριμὺν εἰρήνης ἐργάζεται καὶ ταχὺν ὡς ὁ
so love keen of-peace produces and quick as the
ἀπὸ γῆς βίος, ἐν ᾧ καὶ τῆς πολεμικῆς εὐτολμίας τὸ μὲν
from earth life in which also of-the warlike daring the indeed
ὑπερμαχητικὸν τοῦ οἰκείου διαμένει καὶ πάρεστι, τὸ δὲ εἰς
willing-to-fight-for the own remains and is-present the but toward
ἀδικίαν καὶ πλεονεξίαν ἀνειμένον ἐκκέκοπται. διὸ καὶ
injustice and greed let-loose has-been-cut-out wherefore also
τὴν γεωργίαν ὁ Νομᾶς οἷον εἰρήνης φίλτρον ἐμμίξας
the farming — Numa as-it-were of-peace a-love-charm having-mixed-in
τοῖς πολίταις καὶ μᾶλλον ὡς ἠθοποιὸν ἢ πλουτοποιὸν
for-the citizens and rather as character-forming than wealth-making
ἀγαπήσας τέχνην, εἰς μέρη τὴν χώραν διεῖλεν, ἃ πάγους
having-loved(-it) art into parts the land he-divided which pagi
προσηγόρευσε, καὶ καθ' ἕκαστον ἐπισκόπους ἔταξε
he-called and over each overseers he-appointed
καὶ περιπόλους. ἔστι δ' ὅτε καὶ αὐτὸς ἐφορῶν
and patrols there-are and times-when also himself overseeing
καὶ τεκμαιρόμενος ἀπὸ τῶν ἔργων τοὺς τρόπους τῶν
and judging from the works the characters of-the
πολιτῶν τοὺς μὲν εἰς τιμὰς καὶ πίστεις ἀνῆγε, τοὺς
citizens the(-ones) indeed to honors and trusts he-raised the(-ones)
δὲ ῥᾳθύμους καὶ ἀμελεῖς ψέγων καὶ κακίζων ἐσωφρόνιζε.
and lazy and careless blaming and reproaching he-chastened

Numa divides the people by crafts to break the old division between Sabines and Romans, and limits a father's right to sell a married son. He reforms the calendar, adding an intercalary month and setting January and February before March. The temple of Janus, open in war, stays shut for all forty-three years of his reign; the neighbor cities too turn to peace and husbandry, and Numa's life proves Plato's saying that men's ills end when kingly power meets a philosopher's mind.

17 Τῶν δὲ ἄλλων αὐτοῦ πολιτευμάτων ἡ κατὰ τέχνας
of-the and other his measures the according-to crafts
διανομὴ τοῦ πλήθους μάλιστα θαυμάζεται. τῆς γὰρ πόλεως
distribution of-the populace most is-admired the for city
ἐκ δυεῖν γενῶν, ὥσπερ εἴρηται, συνεστάναι δοκούσης,
from two races as has-been-said to-have-been-formed seeming
διεστώσης δὲ μᾶλλον καὶ μηδενὶ τρόπῳ μιᾶς γενέσθαι
being-divided and rather and in-no way one to-become
βουλομένης μηδὲ οἷον ἐξαλεῖψαι τὴν ἑτερότητα καὶ
wishing nor as-it-were to-wipe-out the otherness and
διαφοράν, ἀλλὰ συγκρούσεις ἀπαύστους καὶ φιλονεικίας
difference but clashes unceasing and rivalries
τῶν μερῶν ἐχούσης, διανοηθεὶς ὅτι καὶ τῶν σωμάτων
of-the parts having having-reflected that also of-the bodies
τὰ φύσει δύσμικτα καὶ σκληρὰ καταθραύοντες καὶ
the(-ones) by-nature hard-to-mix and hard crushing and
διαιροῦντες ἀναμιγνύουσιν, ὑπὸ μικρότητος ἀλλήλοις
dividing they-mix through smallness with-one-another
συμβαίνοντα μᾶλλον, ἔγνω κατατεμεῖν τομὰς πλείονας
coming-together rather he-resolved to-cut-up into-cuts more
τὸ σύμπαν πλῆθος· ἐκ δὲ τούτων εἰς ἑτέρας ἐμβαλὼν
the whole populace from and these into other throwing(-them)
διαφορὰς τὴν πρώτην ἐκείνην καὶ μεγάλην ἀφανίσαι
differences the first that and great to-obliterate

ταῖς ἐλάττοσιν ἐνδιασπαρεῖσαν. ἦν δὲ ἡ διανομὴ κατὰ
by-the smaller dispersed was and the distribution according-to
τὰς τέχνας, αὐλητῶν, χρυσοχόων, τεκτόνων, βαφέων,
the crafts of-flute-players of-goldsmiths of-carpenters of-dyers
σκυτοτόμων, σκυτοδεψῶν, χαλκέων, κεραμέων. τὰς δὲ
of-shoemakers of-tanners of-smiths of-potters the and
λοιπὰς τέχνας εἰς ταὐτὸ συναγαγὼν ἓν αὐτῶν ἐκ πασῶν
remaining crafts into the-same having-gathered one of-them out-of all
ἀπέδειξε σύστημα. κοινωνίας δὲ καὶ συνόδους καὶ θεῶν
he-made a-body communities and also assemblies and of-gods
μήτε ὅπλων δεηθέντα μήτε βίας τινός, ὡς Λυκοῦργος
neither of-arms having-needed nor of-force any as Lycurgus
ἐπὶ τὸν δῆμον ἦγε τοὺς ἀρίστους, ἀλλὰ σοφίᾳ καὶ
against the people led the best(-men) but by-wisdom and
δικαιοσύνῃ πάντας προσαγαγόμενον καὶ συναρμόσαντα.
justice all having-won-over and having-harmonized(-them)

PLUTARCH

ΣΟΛΩΝ

Solon

Solon, son of Execestides and a Codrid, is a kinsman and friend of Peisistratus. His father having spent his estate, he turns to trade, and his poems show his view of wealth: he would have riches, but not gained unjustly. He wrote verse first for pastime, later on politics and ethics, and of the sages only Thales went beyond practical wisdom. The Seven Sages meet at Delphi and Corinth, and the golden tripod passes from one to another, each naming another wiser.

Δίδυμος ὁ γραμματικὸς ἐν τῇ περὶ τῶν ἀξόνων τῶν 1
Didymus the grammarian in the about the axones of-the
Σόλωνος ἀντιγραφῇ πρὸς Ἀσκληπιάδην Φιλοκλέους τινὸς
of-Solon reply to Asclepiades of-Philocles a-certain
τέθεικε λέξιν, ἐν ᾗ τὸν Σόλωνα πατρὸς Εὐφορίωνος
has-set a-passage in which — Solon of-a-father of-Euphorion
ἀποφαίνει παρὰ τὴν τῶν ἄλλων δόξαν, ὅσοι
he-declares contrary-to the of-the others opinion as-many-as
μέμνηνται Σόλωνος. Ἐξηκεστίδου γὰρ αὐτὸν ἅπαντες
have-mentioned Solon of-Execestides for him all
ὁμαλῶς γεγονέναι λέγουσιν, ἀνδρὸς οὐσίᾳ μέν, ὥς φασι,
alike to-have-been-born say of-a-man in-substance indeed as they-say
καὶ δυνάμει μέσου τῶν πολιτῶν, οἰκίας δὲ πρώτης κατὰ
and power middling among-the citizens of-a-house but first by
γένος· ἦν γὰρ Κοδρίδης ἀνέκαθεν. τὴν δὲ μητέρα τοῦ
family he-was for a-Codrid from-the-beginning the and mother —
Σόλωνος Ἡρακλείδης ὁ Ποντικὸς ἱστορεῖ τῆς Πεισιστράτου
of-Solon Heracleides the Pontic records of-the of-Peisistratus
μητρὸς ἀνεψιὰν γενέσθαι. καὶ φιλία τὸ πρῶτον ἦν αὐτοῖς
mother a-cousin to-have-been and friendship the first(-time) was to-them
πολλὴ μὲν διὰ τὴν συγγένειαν, πολλὴ δὲ διὰ τὴν
much indeed because-of the kinship much and because-of the
εὐφυΐαν καὶ ὥραν, ὡς ἔνιοί φασιν, ἐρωτικῶς τὸν
good-parts and youthful-beauty as some say amorously —

Πεισίστρατον ἀσπαζομένου τοῦ Σόλωνος. ὅθεν ὕστερον, ὡς
Peisistratus cherishing — Solon whence later as
ἔοικεν, εἰς διαφορὰν αὐτῶν ἐν τῇ πολιτείᾳ καταστάντων
it-seems into difference them in the politics having-come
οὐδὲν ἤνεγκεν ἡ ἔχθρα σκληρὸν οὐδ' ἄγριον πάθος, ἀλλὰ
nothing brought the enmity harsh nor savage passion but
παρέμεινεν ἐκεῖνα τὰ δίκαια ταῖς ψυχαῖς, καὶ παρεφύλαξε,
remained those the claims in-the souls and kept-watch-over

Τυφόμενα Δίου πυρὸς ἔτι ζῶσαν φλόγα,
Smoldering Zeus's of-fire still living flame

τὴν ἐρωτικὴν μνήμην καὶ χάριν. ὅτι δὲ πρὸς τοὺς
the erotic memory and gratitude that and toward the
καλοὺς οὐκ ἦν ἐχυρὸς ὁ Σόλων οὐδ' Ἔρωτι θαρραλέος
handsome(-ones) not was steadfast — Solon nor to-Love bold
"ἀνταναστῆναι πύκτης ὅπως ἐς χεῖρας," ἔκ τε τῶν
to-stand-up-against boxer like to hands from both the
ποιημάτων αὐτοῦ λαβεῖν ἔστι, καὶ νόμον ἔγραψε
poems his to-take it-is-possible and a-law he-wrote
διαγορεύοντα δοῦλον μὴ ξηραλοιφεῖν μηδὲ παιδεραστεῖν,
forbidding a-slave not to-anoint-himself-dry nor to-love-boys
εἰς τὴν τῶν καλῶν μερίδα καὶ σεμνῶν ἐπιτηδευμάτων
among the of-the noble portion and respectable pursuits
τιθέμενος τὸ πρᾶγμα, καὶ τρόπον τινὰ τοὺς ἀξίους
placing the thing and in-a-way some the worthy(-men)
προκαλούμενος ὧν τοὺς ἀναξίους ἀπήλαυνε. λέγεται
inviting from-which the unworthy he-drove-away it-is-said
δὲ καὶ Πεισίστρατος ἐραστὴς Χάρμου γενέσθαι, καὶ τὸ
and also Peisistratus lover of-Charmus to-have-been and the

ἄγαλμα τοῦ Ἔρωτος ἐν Ἀκαδημείᾳ καθιερῶσαι, ὅπου τὸ
statue — of-Love in the-Academy to-have-dedicated where the
πῦρ ἀνάπτουσιν οἱ τὴν ἱερὰν λαμπάδα διαθέοντες.
fire light those the sacred torch running
Ὁ δ' οὖν Σόλων τὴν οὐσίαν τοῦ πατρὸς ἐλαττώσαντος εἰς 2
— and then Solon the substance of-the father having-diminished on
φιλανθρωπίας τινάς, ὥς φησιν Ἕρμιππος, καὶ χάριτας, οὐκ
benevolences some as says Hermippus and favors not
ἂν ἀπορήσας τῶν βουλομένων ἐπαρκεῖν, αἰδούμενος
— would-have-been-at-a-loss of-those wishing to-assist being-ashamed
δὲ λαμβάνειν παρ' ἑτέρων ἐξ οἰκίας γεγονὼς εἰθισμένης
and to-receive from others from a-house having-been-born accustomed
ἑτέροις βοηθεῖν, ὥρμησε νέος ὢν ἔτι πρὸς ἐμπορίαν. καίτοι
others to-help set-out young being still to commerce and-yet
φασὶν ἔνιοι πολυπειρίας ἕνεκα μᾶλλον καὶ ἱστορίας ἢ
say some of-wide-experience for-the-sake-of rather and of-inquiry than
χρηματισμοῦ πλανηθῆναι τὸν Σόλωνα. σοφίας μὲν γὰρ
of-money-making to-have-wandered — Solon of-wisdom indeed for
ἦν ὁμολογουμένως ἐραστής, ὅς γε καὶ πρεσβύτερος ὢν
he-was admittedly a-lover who at-least also older being
ἔλεγε "γηράσκειν αἰεὶ πολλὰ διδασκόμενος·" πλοῦτον δ'
said to-grow-old ever many(-things) being-taught wealth but
οὐκ ἐθαύμαζεν, ἀλλὰ καί φησιν ὁμοίως πλουτεῖν ᾧ τε
not he-admired but also says equally to-be-rich to-whom both

πολὺς ἄργυρός ἐστι
much silver is
καὶ χρυσὸς καὶ γῆς πυροφόρου πεδία
and gold and of-land wheat-bearing fields
ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ μόνα ταῦτα πάρεστι,
horses and mules both and to-whom alone these-things are-present

γαστρί τε καὶ πλευρῇ καὶ ποσὶν ἁβρὰ παθεῖν,
in-belly both and side and feet soft(-things) to-experience
παιδός τ' ἠδὲ γυναικός, ἐπὴν καὶ ταῦτ' ἀφίκηται,
of-boy both and of-woman when also these-things arrive
ἥβη, σὺν δ' ὥρη γίνεται ἁρμοδία.
youth with and season becomes fitting

ἀλλ' ἑτέρωθι λέγει·
but elsewhere he-says

Χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
Riches and I-long indeed to-have unjustly but to-have-acquired
οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη.
not I-wish surely later came justice

κωλύει δὲ οὐδὲν τὸν ἀγαθὸν καὶ πολιτικὸν ἄνδρα μήτε
prevents and nothing the good and political man neither
τῶν περιττῶν τὴν κτῆσιν ἐν σπουδῇ τίθεσθαι μήτε τῆς
of-the superfluous(-things) the acquisition in seriousness to-place nor the
χρείας τῶν ἀναγκαίων καὶ ἱκανῶν καταφρονεῖν. ἐν δὲ
use of-the necessary and sufficient(-things) to-despise in and
τοῖς τότε χρόνοις, καθ' Ἡσίοδον, ἔργον οὐδὲν ἦν ὄνειδος,
the then times according-to Hesiod work no was reproach
οὐδὲ τέχνη διαφορὰν ἔφερεν, ἐμπορία δὲ καὶ δόξαν
nor a-craft distinction brought commerce and also reputation
εἶχεν οἰκειουμένη τὰ βαρβαρικὰ καὶ προξενοῦσα φιλίας
had making-familiar the barbarian(-things) and procuring friendships
βασιλέων καὶ πραγμάτων ἐμπείρους ποιοῦσα πολλῶν.
of-kings and of-affairs experienced making(-men) many
ἔνιοι δὲ καὶ πόλεων οἰκισταὶ γεγόνασι μεγάλων, ὡς καὶ
some and also of-cities founders have-been great as also

Μασσαλίας Πρῶτις ὑπὸ Κελτῶν τῶν περὶ τὸν Ῥοδανὸν
of-Massalia Protis by Celts those about the Rhone
ἀγαπηθείς. καὶ Θαλῆν δέ φασιν ἐμπορίᾳ χρήσασθαι καὶ
having-been-loved and Thales and they-say commerce to-have-practiced and
Ἱπποκράτην τὸν μαθηματικόν, καὶ Πλάτωνι τῆς ἀποδημίας
Hippocrates the mathematician and for-Plato of-the travel
ἐφόδιον ἐλαίου τινὸς ἐν Αἰγύπτῳ διάθεσιν γενέσθαι.
provision of-oil some in Egypt a-sale to-have-been
Τὸ δ' οὖν εὐδάπανον τῷ Σόλωνι καὶ ὑγρὸν πρὸς τὴν δίαιταν, 3
the and then free-spending — in-Solon and soft toward the way-of-life
καὶ τὸ φορτικώτερον ἢ φιλοσοφώτερον ἐν τοῖς ποιήμασι
and the more-vulgar than more-philosophical in the poems
διαλέγεσθαι περὶ τῶν ἡδονῶν, τὸν ἐμπορικὸν οἴονται
to-discourse about the pleasures the merchant they-think
βίον προστετρῖφθαι· πολλοὺς γὰρ ἔχοντα κινδύνους
life to-have-rubbed-off(-on-him) many for having dangers
καὶ μεγάλους ἀνταπαιτεῖν πάλιν εὐπαθείας τινὰς καὶ
and great to-demand-in-return again comforts some and
ἀπολαύσεις. ὅτι δ' αὐτὸν ἐν τῇ τῶν πενήτων μερίδι μᾶλλον
enjoyments that but himself in the of-the poor portion rather
ἢ τῇ τῶν πλουσίων ἔταττε, δῆλόν ἐστιν ἐκ τούτων·
than in-that of-the rich be-ranked clear it-is from these(-lines)

Πολλοὶ γὰρ πλουτεῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
Many for are-rich bad(-men) good(-men) and are-poor
ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
but we with-them not will-exchange
τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
the virtue for-the wealth since the(-one) indeed abiding always
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.
riches but of-men at-one-time another has

τῇ δὲ ποιήσει κατ᾽ ἀρχὰς μὲν εἰς οὐδὲν ἄξιον σπουδῆς,
the and poetry at beginnings indeed for nothing worthy seriousness
ἀλλὰ παίζων ἔοικε προσχρήσασθαι καὶ παράγων ἑαυτὸν ἐν
but playing he-seems to-have-used and diverting himself in
τῷ σχολάζειν· ὕστερον δὲ καὶ γνώμας ἐνέτεινε φιλοσόφους
the to-be-at-leisure later and also maxims he-put-in philosophical
καὶ τῶν πολιτικῶν πολλὰ συγκατέπλεκε τοῖς ποιήμασιν,
and of-the political(-things) many wove-in with-the poems
οὐχ ἱστορίας ἕνεκεν καὶ μνήμης, ἀλλ᾽ ἀπολογισμούς τε
not of-history for-the-sake-of and of-record but justifications both
τῶν πεπραγμένων ἔχοντα καὶ προτροπὰς ἐνιαχοῦ
of-the(-things) done having and exhortations here-and-there
καὶ νουθεσίας καὶ ἐπιπλήξεις πρὸς τοὺς Ἀθηναίους. ἔνιοι δέ
and admonitions and rebukes to the Athenians some and
φασιν ὅτι καὶ τοὺς νόμους ἐπεχείρησεν ἐντείνας εἰς ἔπος
say that also the laws he-attempted putting into verse
ἐξενεγκεῖν, καὶ διαμνημονεύουσι τὴν ἀρχὴν οὕτως ἔχουσαν·
to-publish and they-record the beginning thus being

Πρῶτα μὲν εὐχώμεσθα Διῒ Κρονίδῃ βασιλῆϊ
First indeed let-us-pray to-Zeus son-of-Cronus king
θεσμοῖς τοῖσδε τύχην ἀγαθὴν καὶ κῦδος ὀπάσσαι.
to-laws these fortune good and glory to-grant

Φιλοσοφίας δὲ τοῦ ἠθικοῦ μάλιστα τὸ πολιτικόν, ὥσπερ
of-philosophy and of-the ethical(-part) most the political as
οἱ πλεῖστοι τῶν σοφῶν, ἠγάπησεν. ἐν δὲ τοῖς φυσικοῖς
the most of-the wise(-men) he-loved in and the natural(-matters)
ἁπλοῦς ἐστι λίαν καὶ ἀρχαῖος, ὡς δῆλον ἐκ τούτων·
simple he-is very and old-fashioned as clear from these(-lines)

Ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης·
From cloud comes of-snow strength and of-hail
βροντὴ δ' ἐκ λαμπρᾶς γίνεται ἀστεροπῆς.
thunder and from bright arises lightning
ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἢν δέ τις αὐτὴν
from winds and the-sea is-stirred if but anyone it
μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.
not move of-all(-things) it-is most-just

καὶ ὅλως ἔοικεν ἡ Θάλεω μόνου σοφία τότε περαιτέρω
and in-general seems the of-Thales alone wisdom then further
τῆς χρείας ἐξικέσθαι τῇ θεωρίᾳ· τοῖς δὲ ἄλλοις ἀπὸ
than-the use to-have-reached in-the speculation for-the and others from
τῆς πολιτικῆς ἀρετῆς τοὔνομα τῆς σοφίας ὑπῆρξε.
the political virtue the-name of-the wisdom came
Γενέσθαι δὲ μετ' ἀλλήλων ἔν τε Δελφοῖς ὁμοῦ λέγονται 4
to-have-been and with one-another in both Delphi together they-are-said
καὶ πάλιν ἐν Κορίνθῳ, Περιάνδρου σύλλογόν τινα κοινὸν
and again in Corinth Periander a-gathering some common
αὐτῶν καὶ συμπόσιον κατασκευάσαντος. ἔτι δὲ μᾶλλον
of-them and a-banquet having-arranged still and more
εἰς ἀξίωμα καὶ δόξαν αὐτοὺς κατέστησεν ἡ τοῦ τρίποδος
into dignity and fame them established the of-the tripod
περίοδος καὶ διὰ πάντων ἀνακύκλησις καὶ ἀνθύπειξις
circuit and through all circling and yielding-in-turn

μετ᾽ εὐμενείας φιλοτίμου γενομένη. Κῴων γάρ, ὥς
with goodwill emulous having-happened Coans for as
φασι, καταγόντων σαγήνην, καὶ ξένων ἐκ Μιλήτου
they-say drawing-down a-dragnet and strangers from Miletus
πριαμένων τὸν βόλον οὔπω φανερὸν ὄντα, χρυσοῦς ἐφάνη
having-bought the haul not-yet visible being a-golden appeared
τρίπους ἑλκόμενος, ὃν λέγουσιν Ἑλένην πλέουσαν ἐκ
tripod being-drawn-up which they-say Helen sailing from
Τροίας αὐτόθι καθεῖναι χρησμοῦ τινος ἀναμνησθεῖσαν
Troy there to-have-thrown oracle some having-remembered
παλαιοῦ. γενομένης δὲ τοῖς ξένοις πρῶτον ἀντιλογίας
old having-arisen and for-the strangers first a-dispute
πρὸς τοὺς ἁλιέας περὶ τοῦ τρίποδος, εἶτα τῶν πόλεων
with the fishermen about the tripod then the cities
ἀναδεξαμένων τὴν διαφορὰν ἄχρι πολέμου προελθοῦσαν,
having-taken-up the quarrel as-far-as war having-advanced
ἀνεῖλεν ἀμφοτέροις ἡ Πυθία τῷ σοφωτάτῳ τὸν τρίποδα
answered to-both — Pythia to-the wisest the tripod
ἀποδοῦναι. καὶ πρῶτον μὲν ἀπεστάλη πρὸς Θαλῆν εἰς
to-give and first indeed it-was-sent to Thales at
Μίλητον, ἑκουσίως τῶν Κῴων ἑνὶ δωρουμένων ἐκείνῳ
Miletus willingly the Coans to-one giving-as-a-gift to-that(-man)
περὶ οὗ πρὸς ἅπαντας ὁμοῦ Μιλησίους ἐπολέμησαν.
for which against all together Milesians they-had-fought
Θάλεω δὲ Βίαντα σοφώτερον ἀποφαίνοντος αὐτοῦ πρὸς
Thales but Bias wiser declaring he to
ἐκεῖνον ἦκεν· ἀπ᾽ ἐκείνου δ᾽ αὖθις ἀπεστάλη πρὸς ἄλλον
that(-man) it-came from that(-man) and again it-was-sent to another
ὡς σοφώτερον. εἶτα περιϊὼν καὶ ἀναπεμπόμενος οὕτως
as wiser then going-around and being-sent-on so

ἐπὶ Θαλῆν τὸ δεύτερον ἀφίκετο, καὶ τέλος εἰς Θήβας ἐκ
to Thales the second(-time) it-came and finally to Thebes from
Μιλήτου κομισθεὶς τῷ Ἰσμηνίῳ Ἀπόλλωνι καθιερώθη.
Miletus having-been-carried to-the Ismenian Apollo was-dedicated
Θεόφραστος δέ φησι, πρῶτον μὲν εἰς Πριήνην Βίαντι τὸν
Theophrastus and says first indeed to Priene to-Bias the
τρίποδα πεμφθῆναι, δεύτερον δ' εἰς Μίλητον Θαλῆ Βίαντος
tripod to-have-been-sent second and to Miletus to-Thales Bias
ἀποπέμψαντος· οὕτω δὲ διὰ πάντων πάλιν εἰς Βίαντα
having-sent(-it)-away so and through all again to Bias
περιελθεῖν, τέλος δὲ εἰς Δελφοὺς ἀποσταλῆναι. ταῦτα μὲν
to-have-gone-around finally and to Delphi to-have-been-sent these-things indeed
οὖν ὑπὸ πλειόνων τεθρύληται, πλὴν ὅτι τὸ δῶρον ἀντὶ
then by more(-writers) have-been-talked-about except that the gift instead-of
τοῦ τρίποδος οἱ μὲν φιάλην ὑπὸ Κροίσου πεμφθεῖσαν,
the tripod the(-ones) indeed a-bowl by Croesus sent
οἱ δὲ ποτήριον Βαθυκλέους ἀπολιπόντος εἶναι λέγουσιν.
the(-others) and a-cup Bathycles having-left to-be say

II · ANACHARSIS, THALES, AND SALAMIS

Anacharsis visits Solon and mocks laws as spiders' webs; Solon answers that men keep agreements no one profits by breaking. Thales, to explain why he never married, has a stranger falsely report the death of Solon's son, and Plutarch argues that fear of loss is no reason to refuse love. The Athenians have forbidden on pain of death any proposal to recover Salamis; Solon feigns madness and recites his elegy in the agora. The law is repealed, and he wins Salamis by a ruse at Colias.

Ἰδίᾳ δ' Ἀναχάρσεώς τε πρὸς Σόλωνα καὶ πάλιν
privately and of-Anacharsis both with Solon and again
Θάλεω συνουσίαν τινὰ καὶ λόγους ἀναγράφουσι τοιούτους.
of-Thales an-association some and conversations they-record such

Ἀνάχαρσιν μὲν εἰς Ἀθήνας φασὶν ἐπὶ τὴν Σόλωνος οἰκίαν
Anacharsis indeed to Athens they-say to the of-Solon house
ἐλθόντα κόπτειν, καὶ λέγειν ὡς ξένος ὢν ἀφῖκται φιλίαν
having-come to-knock and to-say that a-stranger being he-has-come friendship
ποιησόμενος καὶ ξενίαν πρὸς αὐτόν. ἀποκριναμένου
to-make and guest-friendship with him having-answered
δὲ τοῦ Σόλωνος ὡς οἴκοι βέλτιόν ἐστι ποιεῖσθαι φιλίας,
and — Solon that at-home better it-is to-make friendships
"Οὐκοῦν," φάναι τὸν Ἀνάχαρσιν, "αὐτὸς ὢν οἴκοι
then to-have-said — Anacharsis himself being at-home
σὺ ποίησαι φιλίαν καὶ ξενίαν πρὸς ἡμᾶς." οὕτω
you make friendship and guest-friendship with us so
δὴ θαυμάσαντα τὴν ἀγχίνοιαν τοῦ ἀνδρὸς τὸν Σόλωνα
indeed having-admired the quickness of-the man — Solon
δέξασθαι φιλοφρόνως, καὶ χρόνον τινὰ κατασχεῖν
to-have-received(-him) kindly and time some to-have-kept(-him)
παρ' αὑτῷ, ἤδη τὰ δημόσια πράττοντα καὶ συνταττόμενον
with himself already the public(-affairs) conducting and composing
τοὺς νόμους. τὸν οὖν Ἀνάχαρσιν πυθόμενον καταγελᾶν τῆς
the laws — then Anacharsis having-learned to-laugh-at the
πραγματείας τοῦ Σόλωνος, οἰομένου γράμμασιν ἐφέξειν
undertaking — of-Solon thinking with-writings to-restrain
τὰς ἀδικίας καὶ πλεονεξίας τῶν πολιτῶν, ἃ μηδὲν τῶν
the injustices and greed of-the citizens which in-nothing from-the
ἀραχνίων διαφέρειν, ἀλλ' ὡς ἐκεῖνα τοὺς μὲν ἀσθενεῖς καὶ
spiders'-webs to-differ but like those the indeed weak and
λεπτοὺς τῶν ἁλισκομένων καθέξειν, ὑπὸ δὲ τῶν δυνατῶν
small of-the(-ones) caught to-hold by but the powerful
καὶ πλουσίων διαρραγήσεσθαι. τὸν δὲ Σόλωνα πρὸς ταῦτά
and rich to-be-broken — and Solon to these(-words)
φασιν εἰπεῖν ὅτι καὶ συνθήκας ἄνθρωποι φυλάττουσιν, ἃς
they-say to-have-said that even compacts men keep which

οὐδετέρῳ λυσιτελές ἐστι παραβαίνειν τῶν θεμένων·
for-neither profitable is to-transgress of-the(-parties) having-made(-them)
καὶ τοὺς νόμους αὐτὸς οὕτως ἁρμόζεται τοῖς πολίταις ὥστε
and the laws he-himself so fits to-the citizens so-that
πᾶσι τοῦ παρανομεῖν βέλτιον ἐπιδεῖξαι τὸ δικαιοπραγεῖν.
to-all than-the to-break-the-law better to-show the to-act-justly
ἀλλὰ ταῦτα μὲν ὡς Ἀνάχαρσις εἴκαζεν ἀπέβη μᾶλλον
but these-things indeed as Anacharsis conjectured turned-out rather
ἢ κατ᾽ ἐλπίδα τοῦ Σόλωνος. ἔφη δὲ κἀκεῖνο θαυμάζειν
than according-to hope — of-Solon said and also-that to-wonder-at
ὁ Ἀνάχαρσις ἐκκλησίᾳ παραγενόμενος, ὅτι λέγουσι μὲν
— Anacharsis at-an-assembly having-attended that speak indeed
οἱ σοφοὶ παρ᾽ Ἕλλησι, κρίνουσι δὲ οἱ ἀμαθεῖς.
the wise among Greeks decide but the ignorant
Πρὸς Θαλῆν δ᾽ εἰς Μίλητον ἐλθόντα τὸν Σόλωνα 6
to Thales and at Miletus having-come — Solon
θαυμάζειν ὅτι γάμου καὶ παιδοποιΐας τὸ παράπαν
to-have-wondered that marriage and begetting-of-children the altogether
ἠμέληκε. καὶ τὸν Θαλῆν τότε μὲν σιωπῆσαι, διαλιπόντα
he-has-neglected and — Thales then indeed to-have-been-silent having-let-pass
δ᾽ ὀλίγας ἡμέρας ἄνδρα παρασκευάσαι ξένον, ἀρτίως
but few days a-man to-have-procured a-stranger just-now
ἥκειν φάσκοντα δεκαταῖον ἐξ Ἀθηνῶν. πυθομένου δὲ
to-have-come saying on-the-tenth-day from Athens having-inquired and
τοῦ Σόλωνος εἰ δή τι καινὸν ἐν ταῖς Ἀθήναις,
— Solon whether indeed anything new in — Athens
δεδιδαγμένον ἃ χρὴ λέγειν τὸν ἄνθρωπον, “Οὐδέν,”
having-been-instructed what he-must to-say the man nothing
εἰπεῖν, “ἕτερον, εἰ μὴ νὴ Δία νεανίσκου τινὸς ἦν ἐκφορὰ
to-have-said other if not by Zeus of-a-young-man some was a-funeral
καὶ προὔπεμπεν ἡ πόλις. ἦν γὰρ υἱός, ὡς ἔφασαν, ἀνδρὸς

ἐνδόξου καὶ πρωτεύοντος ἀρετῇ τῶν πολιτῶν· οὐ παρῆν
illustrious and first in-virtue of-the citizens not he-was-present
δέ, ἀλλ᾽ ἀποδημεῖν ἔφασαν αὐτὸν ἤδη πολὺν χρόνον.᾽᾽
and but to-be-abroad they-said him already much time
᾽᾽ Ὡς δυστυχὴς ἐκεῖνος,᾽᾽ φάναι τὸν Σόλωνα. ᾽᾽τίνα δὲ
how unfortunate that(-man) to-have-said — Solon what and
ὠνόμαζον αὐτόν;᾽᾽ ᾽᾽ Ἤκουσα,᾽᾽ φάναι, ᾽᾽τοὔνομα,᾽᾽ τὸν
did-they-name him I-heard to-have-said the-name the
ἄνθρωπον, ᾽᾽ἀλλ᾽ οὐ μνημονεύω· πλὴν ὅτι πολὺς λόγος ἦν
man but not I-remember except that much talk was
αὐτοῦ σοφίας καὶ δικαιοσύνης.᾽᾽ οὕτω δὴ καθ᾽ ἑκάστην
of-his wisdom and justice so indeed at each
ἀπόκρισιν τῷ φόβῳ προσαγόμενον τὸν Σόλωνα καὶ τέλος
answer to-the fear being-drawn-on — Solon and at-last
ἤδη συντεταραγμένον αὐτὸν ὑποβάλλειν τοὔνομα τῷ ξένῳ,
already confounded himself to-suggest the-name to-the stranger
πυνθανόμενον μὴ Σόλωνος ὁ τεθνηκὼς υἱὸς ὠνομάζετο.
inquiring whether-not of-Solon the dead son was-named
φήσαντος δὲ τοῦ ἀνθρώπου, τὸν μὲν ὁρμῆσαι παίειν
having-said(-so) and the man the(-one) indeed to-have-rushed to-beat
τὴν κεφαλὴν καὶ τἆλλα ποιεῖν καὶ λέγειν ἃ συμβαίνει
the head and the-other(-things) to-do and to-say which happen
τοῖς περιπαθοῦσι, τὸν δὲ Θαλῆν ἐπιλαβόμενον αὐτοῦ καὶ
to-those grieving-violently — and Thales having-taken-hold-of him and
γελάσαντα, ᾽᾽Ταῦτά τοι,᾽᾽ φάναι, ᾽᾽ὦ Σόλων, ἐμὲ γάμου
having-laughed these(-things) surely to-have-said O Solon me from-marriage
καὶ παιδοποιΐας ἀφίστησιν, ἃ καὶ σὲ κατερείπει τὸν
and begetting-of-children keep-away which also you overthrow the
ἐρρωμενέστατον. ἀλλὰ θάρρει τῶν λόγων ἕνεκα τούτων·
most-stalwart(-man) but take-heart of-the words for-the-sake-of these

οὐ γάρ εἰσιν ἀληθεῖς.” ταῦτα μὲν οὖν Ἕρμιππος ἱστορεῖν
not for are true these-things indeed then Hermippus to-record
φησι Πάταικον, ὃς ἔφασκε τὴν Αἰσώπου ψυχὴν ἔχειν.
says Pataecus who claimed the of-Aesop soul to-have
Ἄτοπος δὲ καὶ ἀγεννὴς ὁ τῷ φόβῳ τῆς ἀποβολῆς 7
absurd and and ignoble the(-man) by-the fear of-the loss
τὴν κτῆσιν ὧν χρὴ προϊέμενος· οὕτω γὰρ ἄν τις οὐ
the acquisition of-what one-should giving-up so for — one neither
πλοῦτον, οὐ δόξαν, οὐ σοφίαν ἀγαπήσειε παραγενομένην,
wealth nor reputation nor wisdom would-welcome having-come
δεδιὼς στέρεσθαι. καὶ γὰρ ἀρετήν, ἧς κτῆμα μεῖζον
fearing to-be-deprived and for virtue than-which a-possession greater
οὐδὲν οὐδ’ ἥδιον, ἐξισταμένην ὑπὸ νόσων καὶ φαρμάκων
none nor sweeter displaced by diseases and drugs
ὁρῶμεν· αὐτῷ τε Θαλῇ μὴ γήμαντι πλέον οὐδὲν εἰς
we-see himself both to-Thales not having-married more nothing toward
ἀφοβίαν, εἰ μὴ καὶ φίλων κτῆσιν ἔφυγε καὶ οἰκείων καὶ
fearlessness if not also of-friends acquisition he-fled and of-kin and
πατρίδος. ἀλλὰ καὶ παῖδα θετὸν ἔσχε ποιησάμενος αὐτὸς
of-fatherland but even a-child adopted he-had having-made(-him) himself
τὸν τῆς ἀδελφῆς, ὥς φασι, Κύβισθον. ἐχούσης γάρ τι
the of-the sister as they-say Cybisthus having for something
τῆς ψυχῆς ἀγαπητικὸν ἐν ἑαυτῇ καὶ πεφυκυίας, ὥσπερ
the soul affectionate in itself and having-been-born as
αἰσθάνεσθαι καὶ διανοεῖσθαι καὶ μνημονεύειν, οὕτω καὶ
to-perceive and to-think and to-remember so also
φιλεῖν, ἐνδύεταί τι τούτῳ καὶ προσφύεται τῶν
to-love enters something into-this and attaches of-the(-things)
ἐκτὸς οἷς οἰκεῖον οὐδέν ἐστιν, καὶ καθάπερ οἶκον ἢ χώραν
outside to-which kin nothing is and as-it-were a-house or land
γνησίων ἔρημον διαδόχων, τὸ φιλόστοργον ἀλλότριοι καὶ
of-legitimate empty heirs the affection strangers and

νόθοι παῖδες ἢ θεράποντες εἰσοικισάμενοι καὶ καταλαβόντες
bastard children or servants having-settled-in and having-occupied
ἅμα τῷ φιλεῖν τὸ φροντίζειν καὶ δεδιέναι περὶ αὐτῶν
together-with the to-love the to-be-anxious and to-fear about them
ἐνεποίησαν. ὥστ' ἴδοις ἂν ἀνθρώπους στερροτέρᾳ τῇ
have-produced so-that you-would-see — men harder in-the
φύσει περὶ γάμου καὶ γενέσεως παίδων διαλεγομένους,
nature about marriage and begetting of-children discoursing
εἶτα τοὺς αὐτοὺς ἐπὶ παισὶν οἰκοτρίβων ἢ θρέμμασι
then the same(-men) over children of-house-slaves or nurslings
παλλακῶν νοσοῦσι καὶ θνήσκουσι παρατεινομένους πόθῳ
of-concubines being-sick and dying being-stretched with-longing
καὶ φωνὰς ἀγεννεῖς ἀφιέντας. ἔνιοι δὲ καὶ κυνῶν θανάτῳ
and cries ignoble letting-out some and also of-dogs at-the-death
καὶ ἵππων αἰσχρῶς καὶ ἀβιώτως ὑπὸ λύπης διετέθησαν.
and of-horses shamefully and unlivably by grief were-affected
ἀλλ' ἕτεροί γε παῖδας ἀγαθοὺς ἀποβαλόντες οὐδὲν
but others at-least children good having-lost nothing
ἔπαθον δεινὸν οὐδ' ἐποίησαν αἰσχρόν, ἀλλὰ καὶ χρώμενοι
suffered terrible nor did shameful but also using
τῷ λοιπῷ βίῳ κατὰ λόγον διετέλεσαν. ἀσθένεια γάρ,
the remaining life according-to reason continued weakness for
οὐκ εὔνοια, λύπας ἀπεράντους ἐπάγεται καὶ φόβους
not goodwill griefs endless brings-on and fears
ἀνθρώποις ἀνασκήτοις ὑπὸ λόγου πρὸς τύχην, οἷς
on-men untrained by reason against fortune for-whom
οὐδ' ἀπόλαυσις ἐγγίνεται τοῦ ποθουμένου παρόντος,
not-even enjoyment arises of-the(-thing) longed-for being-present
τοῦ μέλλοντος ὠδῖνας ἀεὶ καὶ τρόμους καὶ ἀγῶνας, εἰ
the future pangs always and tremblings and struggles whether
στερήσονται, παρέχοντος αὐτοῖς. δεῖ δὲ μήτε πενίᾳ
they-will-be-deprived providing to-them it-is-needful but neither by-poverty

πρὸς χρημάτων πεφράχθαι στέρησιν μήτε ἀφιλίᾳ πρὸς
against of-money to-be-fortified deprivation nor by-friendlessness against
φίλων ἀποβολὴν μήτ᾽ ἀπαιδίᾳ πρὸς τέκνων θάνατον,
of-friends loss nor by-childlessness against of-children death
ἀλλὰ τῷ λογισμῷ πρὸς πάντα. καὶ ταῦτα μέν, ὡς ἐν
but by-the reasoning against all(-things) and these-things indeed as in
τῷ παρόντι, πλείονα τῶν ἱκανῶν.
the present more than-the sufficient
Ἐπεὶ δὲ μακρόν τινα καὶ δυσχερῆ πόλεμον οἱ ἐν 8
when and long a and troublesome war the(-men) in
ἄστει περὶ τῆς Σαλαμινίων νήσου Μεγαρεῦσι πολεμοῦντες
the-city about the of-Salaminians island with-Megarians warring
ἐξέκαμον, καὶ νόμον ἔθεντο μήτε γράψαι τινὰ μήτ᾽
were-worn-out and a-law they-made neither to-write anyone nor
εἰπεῖν αὖθις ὡς χρὴ τὴν πόλιν ἀντιποιεῖσθαι τῆς
to-say again that it-was-necessary the city to-lay-claim-to —
Σαλαμῖνος, ἢ θανάτῳ ζημιοῦσθαι, βαρέως φέρων τὴν
Salamis or with-death to-be-punished heavily bearing the
ἀδοξίαν ὁ Σόλων, καὶ τῶν νέων ὁρῶν πολλοὺς δεομένους
disgrace — Solon and of-the young-men seeing many needing
ἀρχῆς ἐπὶ τὸν πόλεμον, αὐτοὺς δὲ μὴ θαρροῦντας
a-beginning for the war themselves but not daring
ἄρξασθαι διὰ τὸν νόμον, ἐσκήψατο μὲν ἔκστασιν τῶν
to-begin because-of the law he-feigned indeed derangement of-the
λογισμῶν, καὶ λόγος εἰς τὴν πόλιν ἐκ τῆς οἰκίας διεδόθη
reasonings and a-report into the city from the house was-spread
παρακινητικῶς ἔχειν αὐτόν, ἐλεγεῖα δὲ κρύφα συνθεὶς
deranged to-be him elegiac(-verses) and secretly having-composed
καὶ μελετήσας ὥστε λέγειν ἀπὸ στόματος, ἐξεπήδησεν
and having-practiced so-that to-say(-them) from mouth he-leapt-out
εἰς τὴν ἀγορὰν ἄφνω πιλίδιον περιθέμενος. ὄχλου δὲ
into the market-place suddenly a-felt-cap having-put-on a-crowd and

πολλοῦ συνδραμόντος ἀναβὰς ἐπὶ τὸν τοῦ κήρυκος
much having-run-together having-mounted on the of-the herald
λίθον ἐν ᾠδῇ διεξῆλθε τὴν ἐλεγείαν, ἧς ἐστιν ἀρχή·
stone in song he-went-through the elegy of-which is the-beginning

Αὐτὸς κῆρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος,
Myself a-herald I-have-come from lovely Salamis
κόσμον ἐπέων ᾠδὴν ἀντ' ἀγορῆς θέμενος.
an-arrangement of-words a-song instead-of a-speech having-made

τοῦτο τὸ ποίημα Σαλαμὶς ἐπιγέγραπται καὶ στίχων ἑκατόν
this the poem Salamis is-entitled and of-lines a-hundred
ἐστι, χαριέντως πάνυ πεποιημένον. τότε δὲ ᾀσθέντος αὐτοῦ
is gracefully very composed then and having-been-sung it
καὶ τῶν φίλων τοῦ Σόλωνος ἀρξαμένων ἐπαινεῖν, μάλιστα
and the friends — of-Solon having-begun to-praise(-it) most
δὲ τοῦ Πεισιστράτου τοῖς πολίταις ἐγκελευομένου καὶ
and — Peisistratus to-the citizens urging and
παρορμῶντος πεισθῆναι τῷ λέγοντι, λύσαντες τὸν νόμον
exhorting(-them) to-be-persuaded by-the speaker having-repealed the law
αὖθις ἥπτοντο τοῦ πολέμου, προστησάμενοι τὸν Σόλωνα.
again they-took-up the war having-put-in-charge — Solon
Τὰ μὲν οὖν δημώδη τῶν λεγομένων τοιαῦτ' ἐστίν,
the indeed then popular of-the(-things) said such are
ὅτι πλεύσας ἐπὶ Κωλιάδα μετὰ τοῦ Πεισιστράτου, καὶ
that having-sailed to Colias with — Peisistratus and
καταλαβὼν αὐτόθι πάσας τὰς γυναῖκας τῇ Δήμητρι τὴν
having-found there all the women — to-Demeter the
πάτριον θυσίαν ἐπιτελούσας, ἔπεμψεν ἄνδρα πιστὸν εἰς
ancestral sacrifice performing he-sent a-man trusty to
Σαλαμῖνα προσποιούμενον αὐτόμολον εἶναι, κελεύοντα τοὺς
Salamis pretending a-deserter to-be bidding the

Μεγαρεῖς, εἰ βούλονται τῶν Ἀθηναίων τὰς πρώτας λαβεῖν
Megarians if they-wish of-the Athenians the first(-ladies) to-seize
γυναῖκας, ἐπὶ Κωλιάδα μετ' αὐτοῦ πλεῖν τὴν ταχίστην. ὡς
women to Colias with him to-sail the quickest(-way) when
δὲ πεισθέντες οἱ Μεγαρεῖς ἄνδρας ἐξέπεμψαν ἐν τῷ
and having-been-persuaded the Megarians men sent-out in the
πλοίῳ καὶ κατεῖδεν ὁ Σόλων τὸ πλοῖον ἐλαυνόμενον ἀπὸ τῆς
boat and saw — Solon the boat putting-off from the
νήσου, τὰς μὲν γυναῖκας ἐκποδὼν ἀπελθεῖν ἐκέλευσε, τῶν
island the indeed women out-of-the-way to-go he-ordered of-the
δὲ νεωτέρων τοὺς μηδέπω γενειῶντας ἐνδύμασι καὶ μίτραις
and younger(-men) those not-yet bearded in-dresses and headbands
καὶ ὑποδήμασι τοῖς ἐκείνων σκευασαμένους καὶ λαβόντας
and shoes the of-those having-dressed and having-taken
ἐγχειρίδια κρυπτὰ παίζειν καὶ χορεύειν προσέταξε πρὸς τῇ
daggers hidden to-play and to-dance he-ordered by the
θαλάσσῃ, μέχρις ἂν ἀποβῶσιν οἱ πολέμιοι καὶ γένηται
sea until — should-disembark the enemies and become
τὸ πλοῖον ὑποχείριον. οὕτω δὴ τούτων πραττομένων,
the boat in-their-power so indeed these(-things) being-done
ὑπαχθέντες οἱ Μεγαρεῖς τῇ ὄψει καὶ προσμίξαντες ἐγγύς,
having-been-lured the Megarians by-the sight and having-come-to-land near
ἐξεπήδων ὡς ἐπὶ γυναῖκας, ἁμιλλώμενοι πρὸς ἀλλήλους,
leapt-out as upon women vying with one-another
ὥστε μηδένα διαφυγεῖν, ἀλλὰ πάντας ἀπολέσθαι, καὶ τὴν
so-that no-one to-escape but all to-perish and the
νῆσον ἐπιπλεύσαντας εὐθὺς ἔχειν τοὺς Ἀθηναίους.
island having-sailed-against at-once to-hold the Athenians

Others say the Delphic god directed Solon to propitiate the island's heroes before the attack. The Spartans arbitrate the quarrel: many say Solon read out a verse he had inserted into Homer, the Athenians that he proved Ajax's sons had given them the island and pointed to the burial customs. He urges the Amphictyons to defend Delphi against Cirrha. The pollution of the slaughter of Cylon's followers divides the city until Solon persuades the accursed to stand trial and they are banished. Epimenides of Crete is called to purify Athens, and he refuses any reward but a branch of the sacred olive.

9 Ἄλλοι δέ φασιν οὐ τοῦτον τὸν τρόπον γενέσθαι τὴν
others but say not in-this the manner to-have-happened the
κατάληψιν, ἀλλὰ πρῶτον μὲν αὐτῷ τὸν ἐν Δελφοῖς θεὸν
capture but first indeed to-him the in Delphi god
χρῆσαι·
to-have-given-an-oracle

Ἀρχηγοὺς χώρας θυσίαις ἥρωας ἐνοίκους
Founders of-the-land with-sacrifices heroes indwelling
ἵλασο, τοὺς κόλποις Ἀσωπιὰς ἀμφικαλύπτει,
propitiate whom in-her-bosom Asopis covers
οἳ φθίμενοι δέρκονται ἐς ἠέλιον δύνοντα·
who having-died look toward the-sun setting

τὸν δὲ Σόλωνα διαπλεύσαντα νυκτὸς εἰς τὴν νῆσον
— and Solon having-sailed-across by-night to the island
ἐντεμεῖν σφάγια Περιφήμῳ καὶ Κυχρεῖ τοῖς ἥρωσιν. εἶτα
to-have-sacrificed victims to-Periphemus and Cychreus the heroes then
παρὰ τῶν Ἀθηναίων ἐθελοντὰς λαβεῖν πεντακοσίους,
from the Athenians volunteers to-have-taken five-hundred
δόγματος γενομένου τούτους, ἂν κατασχῶσι τὴν
a-decree having-been-passed these if they-should-hold the

νῆσον, κυρίους εἶναι τοῦ πολιτεύματος. ἀναχθέντα δὲ
island masters to-be of-the government having-put-to-sea and
συχναῖς ἁλιάσιν ἅμα τριακοντόρου συμπαραπλεούσης
with-many fishing-boats together a-thirty-oar(-ship) sailing-along
ὑφορμίσασθαι τῇ Σαλαμῖνι κατὰ χηλήν τινα πρὸς
to-have-anchored-under — Salamis by a-breakwater some toward
τὴν Εὔβοιαν ἀποβλέπουσαν. πυθομένους δὲ τοὺς ἐν
— Euboea looking having-learned and the(-men) in
Σαλαμῖνι Μεγαρεῖς ἔκ τινος φήμης οὐδὲν βέβαιον,
Salamis Megarians from some rumor nothing certain
αὐτοὺς μὲν εἰς τὰ ὅπλα θορυβουμένους βαδίζειν, ναῦν
themselves indeed to the arms in-confusion to-go a-ship
δ' ἀποστεῖλαι κατασκεψομένην τῶν πολεμίων· ἧς ἐγγὺς
and to-have-sent-off to-spy-on the enemies which near
ἐλθούσης κρατῆσαι τὸν Σόλωνα καὶ καθεῖρξαι τοὺς
having-come to-have-captured — Solon and to-have-shut-up the
Μεγαρεῖς. ἐμβιβάσαι δὲ τῶν Ἀθηναίων τοὺς κρατίστους
Megarians to-have-embarked and of-the Athenians the strongest
κελεύσαντα πλεῖν ἐπὶ τὴν πόλιν, ὡς ἂν ἐνδέχηται
having-ordered(-them) to-sail against the city as — it-be-possible
μάλιστα κρύπτοντας ἑαυτούς· ἅμα δὲ τοὺς ἄλλους
most hiding themselves at-once and the other
Ἀθηναίους ἀναλαβόντα πεζῇ συμφέρεσθαι τοῖς Μεγαρεῦσι·
Athenians having-taken-up by-land to-engage-with the Megarians
καὶ τῆς μάχης ἔτι συνεστώσης φθάσαι τοὺς
and the battle still going-on to-have-anticipated(-them) the(-men)
ἀπὸ τῆς νεὼς καταλαβόντας τὴν πόλιν.
from the ship having-seized the city
Ἔοικε δὲ τῷ λόγῳ τούτῳ καὶ τὰ δρώμενα μαρτυρεῖν.
seems and to-the account this also the(-things) enacted to-bear-witness
ναῦς γάρ τις Ἀττικὴ προσέπλει σιωπῇ τὸ πρῶτον, εἶτα
a-ship for some Attic approached in-silence the first then

κραυγῇ καὶ ἀλαλαγμῷ προσφερομένων εἷς ἀνὴρ ἔνοπλος
with-a-cry and war-shout bearing-down one man armed
ἐξαλλόμενος μετὰ βοῆς ἔθει πρὸς ἄκρον τὸ Σκιράδιον
leaping-out with a-shout ran to cape — Sciradium
ἐκ γῆς προσφερομένοις. πλησίον δὲ τοῦ Ἐνυαλίου τὸ
from land bearing-down(-on-them) near and — of-Enyalius the
ἱερόν ἐστιν ἱδρυσαμένου Σόλωνος. ἐνίκησε γὰρ τοὺς
temple is having-founded(-it) Solon he-conquered for the
Μεγαρέας, καὶ ὅσοι μὴ διεφθάρησαν ἐν τῇ μάχῃ,
Megarians and as-many-as not were-destroyed in the battle
πάντας ὑποσπόνδους ἀφῆκεν.
all under-truce he-released
Οὐ μὴν ἀλλὰ τῶν Μεγαρέων ἐπιμενόντων πολλὰ κακὰ
not indeed but the Megarians persisting many evils
καὶ δρῶντες ἐν τῷ πολέμῳ καὶ πάσχοντες, ἐποιήσαντο
both doing in the war and suffering they-made
Λακεδαιμονίους διαλλακτὰς καὶ δικαστάς. οἱ μὲν οὖν
Lacedaemonians arbitrators and judges the indeed then
πολλοὶ τῷ Σόλωνι συναγωνίσασθαι λέγουσι τὴν Ὁμήρου
many — Solon to-have-helped say the of-Homer
δόξαν· ἐμβαλόντα γὰρ αὐτὸν ἔπος εἰς νεῶν κατάλογον
reputation having-inserted for himself a-verse into of-the-ships catalog
ἐπὶ τῆς δίκης ἀναγνῶναι·
at the trial to-have-read(-it)

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
Ajax and from Salamis brought twelve ships
στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.
stationed(-them) and bringing where of-Athenians stood the-ranks

αὐτοὶ δ' Ἀθηναῖοι ταῦτα μὲν οἴονται φλυαρίαν εἶναι, τὸν
themselves but Athenians these-things indeed think nonsense to-be —
δὲ Σόλωνά φασιν ἀποδεῖξαι τοῖς δικασταῖς ὅτι Φιλαῖος καὶ
but Solon they-say to-have-shown to-the judges that Philaeus and
Εὐρυσάκης, Αἴαντος υἱοί, Ἀθήνησι πολιτείας μεταλαβόντες
Eurysaces of-Ajax sons at-Athens citizenship having-received
παρέδοσαν τὴν νῆσον αὐτοῖς, καὶ κατῴκησαν ὁ μὲν
handed-over the island to-them and settled the(-one) indeed
ἐν Βραυρῶνι τῆς Ἀττικῆς, ὁ δὲ ἐν Μελίτῃ· καὶ
in Brauron — of-Attica the(-other) and in Melite and
δῆμον ἐπώνυμον Φιλαίου τῶν Φιλαϊδῶν ἔχουσιν, ὅθεν ἦν
a-deme named-after Philaeus of-the Philaidae they-have whence was
Πεισίστρατος. ἔτι δὲ μᾶλλον ἐξελέγξαι τοὺς Μεγαρέας
Peisistratus still and more to-refute the Megarians
βουλόμενον ἰσχυρίσασθαι περὶ τῶν νεκρῶν ὡς οὐχ ὧν
wishing to-have-insisted about the dead that not in-which
τρόπον ἐκεῖνοι θάπτουσι κεκηδευμένων, ἀλλ' ὧν αὐτοί.
manner they bury having-been-interred but in-which themselves
θάπτουσι δὲ Μεγαρεῖς πρὸς ἕω τοὺς νεκροὺς στρέφοντες,
they-bury and Megarians toward dawn the dead turning
Ἀθηναῖοι δὲ πρὸς ἑσπέραν. Ἡρέας δὲ ὁ Μεγαρεὺς
Athenians and toward evening Hereas and the Megarian
ἐνιστάμενος λέγει καὶ Μεγαρεῖς πρὸς ἑσπέραν τετραμμένα
objecting says also Megarians toward evening turned
τὰ σώματα τῶν νεκρῶν τιθέναι· καὶ μεῖζον ἔτι τούτου,
the bodies of-the dead to-place and greater still than-this
μίαν ἕκαστον Ἀθηναίων ἔχειν θήκην, Μεγαρέων δὲ καὶ
one each of-Athenians to-have tomb of-Megarians but even
τρεῖς καὶ τέσσαρας ἐν μιᾷ κεῖσθαι. τῷ μέντοι Σόλωνι
three and four in one to-lie — however Solon
καὶ Πυθικούς τινας βοηθῆσαι λέγουσι χρησμούς, ἐν οἷς
also Pythian some to-have-helped they-say oracles in which

ὁ θεὸς Ἰαονίαν τὴν Σαλαμῖνα προσηγόρευσε. ταύτην τὴν
the god Ionian — Salamis called this the
δίκην ἐδίκασαν Σπαρτιατῶν πέντε ἄνδρες, Κριτολαΐδας,
case judged of-Spartans five men Critolaïdas
Ἀμομφάρετος, Ὑψηχίδας, Ἀναξίλας, Κλεομένης.
Amompharetus Hypsechidas Anaxilas Cleomenes
11 Ἤδη μὲν οὖν καὶ ἀπὸ τούτων ἔνδοξος ἦν ὁ Σόλων καὶ
already indeed then also from these(-things) famous was — Solon and
μέγας. ἐθαυμάσθη δὲ καὶ διεβοήθη μᾶλλον ἐν τοῖς
great he-was-admired and and was-noised-abroad more among the
Ἕλλησιν εἰπὼν ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δελφοῖς, ὡς
Greeks having-spoken on-behalf-of the temple the at Delphi that
χρὴ βοηθεῖν καὶ μὴ περιορᾶν Κιρραίους ὑβρίζοντας
it-is-necessary to-help and not to-overlook Cirrhaeans outraging
εἰς τὸ μαντεῖον, ἀλλὰ προσαμύνειν ὑπὲρ τοῦ θεοῦ
against the oracle but to-defend(-it) on-behalf-of the god
Δελφοῖς. πεισθέντες γὰρ ὑπ᾽ ἐκείνου πρὸς τὸν πόλεμον
for-Delphians having-been-persuaded for by him to the war
ὥρμησαν οἱ Ἀμφικτύονες, ὡς ἄλλοι τε μαρτυροῦσι καὶ
set-out the Amphictyons as others both bear-witness and
Ἀριστοτέλης ἐν τῇ τῶν Πυθιονικῶν ἀναγραφῇ Σόλωνι
Aristotle in the of-the Pythian-victors list to-Solon
τὴν γνώμην ἀνατιθείς. οὐ μέντοι στρατηγὸς ἐπὶ τοῦτον
the motion attributing not however general for this
ἀπεδείχθη τὸν πόλεμον, ὡς λέγειν φησὶν Ἕρμιππος
was-appointed the war as to-say claims Hermippus
Εὐάνθη τὸν Σάμιον· οὔτε γὰρ Αἰσχίνης ὁ ῥήτωρ τοῦτ᾽
Euanthes the Samian neither for Aeschines the orator this
εἴρηκεν, ἔν τε τοῖς Δελφῶν ὑπομνήμασιν Ἀλκμαίων, οὐ
has-said in both the of-Delphians records Alcmaeon not
Σόλων, Ἀθηναίων στρατηγὸς ἀναγέγραπται.
Solon of-Athenians general is-recorded

Τὸ δὲ Κυλώνειον ἄγος ἤδη μὲν ἐκ πολλοῦ διετάραττε 12
the and Cylonian pollution already indeed from long(-before) had-been-troubling
τὴν πόλιν, ἐξ οὗ τοὺς συνωμότας τοῦ Κύλωνος
the city from which the conspirators — of-Cylon
ἱκετεύοντας τὴν θεὸν Μεγακλῆς ὁ ἄρχων ἐπὶ δίκῃ
supplicating the goddess Megacles the archon to trial
κατελθεῖν ἔπεισεν· ἐξάψαντας δὲ τοῦ ἕδους κρόκην κλωστὴν
to-come-down persuaded having-fastened and to-the image a-thread spun
καὶ ταύτης ἐχομένους, ὡς ἐγένοντο περὶ τὰς σεμνὰς
and to-this holding when they-came near the venerable
θεὰς καταβαίνοντες, αὐτομάτως τῆς κρόκης ῥαγείσης,
goddesses coming-down of-its-own-accord the thread having-broken
ὥρμησε συλλαμβάνειν ὁ Μεγακλῆς καὶ οἱ συνάρχοντες,
rushed to-seize(-them) — Megacles and the fellow-archons
ὡς τῆς θεοῦ τὴν ἱκεσίαν ἀπολεγομένης· καὶ τοὺς μὲν
as the goddess the supplication rejecting and the(-ones) indeed
ἔξω κατέλευσαν, οἱ δὲ τοῖς βωμοῖς προσφυγόντες
outside they-stoned the(-others) and to-the altars having-fled
ἀπεσφάγησαν· μόνοι δ' ἀφείθησαν οἱ τὰς γυναῖκας
were-slaughtered only and were-released those the wives
αὐτῶν ἱκετεύσαντες. ἐκ τούτου δὲ κληθέντες ἐναγεῖς
their having-supplicated from this and having-been-called accursed
ἐμισοῦντο· καὶ τῶν Κυλωνείων οἱ περιγενόμενοι πάλιν
they-were-hated and of-the Cylonians the survivors again
ἦσαν ἰσχυροί, καὶ στασιάζοντες ἀεὶ διετέλουν πρὸς τοὺς
were strong and quarreling always continued against the(-men)
ἀπὸ τοῦ Μεγακλέους. ἐν δὲ τῷ τότε χρόνῳ τῆς στάσεως
from — Megacles in and the then time of-the strife
ἀκμὴν λαβούσης μάλιστα καὶ τοῦ δήμου διαστάντος, ἤδη
a-peak having-taken most and the people having-split already
δόξαν ἔχων ὁ Σόλων παρῆλθεν εἰς μέσον ἅμα τοῖς
reputation having — Solon came-forward into middle together-with the

ἀρίστοις τῶν Ἀθηναίων, καὶ δεόμενος καὶ διδάσκων ἔπεισε
best of-the Athenians and entreating and instructing persuaded
τοὺς ἐναγεῖς λεγομένους δίκην ὑποσχεῖν καὶ κριθῆναι
the accursed so-called a-trial to-undergo and to-be-judged
τριακοσίων ἀριστίνδην δικαζόντων. Μύρωνος δὲ τοῦ
three-hundred by-merit judging Myron and the
Φλυέως κατηγοροῦντος ἑάλωσαν οἱ ἄνδρες, καὶ μετέστησαν
of-Phlya accusing were-convicted the men and were-banished
οἱ ζῶντες· τῶν δ' ἀποθανόντων τοὺς νεκροὺς ἀνορύξαντες
the living of-the and dead the corpses having-dug-up
ἐξέρριψαν ὑπὲρ τοὺς ὅρους. ταύταις δὲ ταῖς ταραχαῖς
they-cast-out beyond the borders these and the disturbances
καὶ Μεγαρέων συνεπιθεμένων ἀπέβαλόν τε Νίσαιαν οἱ
and Megarians attacking-also lost both Nisaea the
Ἀθηναῖοι καὶ Σαλαμῖνος ἐξέπεσον αὖθις. καὶ φόβοι τινὲς
Athenians and from-Salamis were-driven again and fears some
ἐκ δεισιδαιμονίας ἅμα καὶ φάσματα κατεῖχε τὴν πόλιν,
from superstition at-once also apparitions held the city
οἵ τε μάντεις ἄγη καὶ μιασμοὺς δεομένους καθαρμῶν
the both seers pollutions and defilements needing purifications
προφαίνεσθαι διὰ τῶν ἱερῶν ἠγόρευον.
to-appear through the sacrifices proclaimed
Οὕτω δὴ μετάπεμπτος αὐτοῖς ἦκεν ἐκ Κρήτης Ἐπιμενίδης
so indeed sent-for to-them came from Crete Epimenides
ὁ Φαίστιος, ὃν ἕβδομον ἐν τοῖς σοφοῖς καταριθμοῦσιν
the Phaestian whom seventh among the wise(-men) count
ἔνιοι τῶν οὐ προσιεμένων τὸν Περίανδρον. ἐδόκει δέ
some of-those not admitting — Periander he-seemed and
τις εἶναι θεοφιλὴς καὶ σοφὸς περὶ τὰ θεῖα
some(-one) to-be god-beloved and wise about the divine(-things)
τὴν ἐνθουσιαστικὴν καὶ τελεστικὴν σοφίαν, διὸ καὶ
the inspired and mystic wisdom wherefore also

παῖδα νύμφης ὄνομα Βάλτης καὶ Κούρητα νέον αὐτὸν
son of-a-nymph named Balte and Curete new him
οἱ τότε ἄνθρωποι προσηγόρευον. ἐλθὼν δὲ καὶ τῷ
the then men called having-come and also —
Σόλωνι χρησάμενος φίλῳ πολλὰ προσυπειργάσατο
Solon having-made-use-of as-a-friend much he-helped-prepare
καὶ προωδοποίησεν αὐτῷ τῆς νομοθεσίας. καὶ γὰρ
and paved-the-way for-him of-the legislation and for
εὐσταλεῖς ἐποίησε τὰς ἱερουργίας καὶ περὶ τὰ πένθη
simple he-made the rites and in the mournings
πρᾳοτέρους, θυσίας τινὰς εὐθὺς ἀναμίξας πρὸς τὰ κήδη,
milder sacrifices some at-once having-mixed-in with the funerals
καὶ τὸ σκληρὸν ἀφελὼν καὶ τὸ βαρβαρικὸν ᾧ
and the harsh having-removed and the barbarous with-which
συνείχοντο πρότερον αἱ πλεῖσται γυναῖκες. τὸ δὲ μέγιστον,
were-gripped before the most women the and greatest
ἱλασμοῖς τισι καὶ καθαρμοῖς καὶ ἱδρύσεσι κατοργιάσας
with-propitiations some and purifications and foundations having-hallowed
καὶ καθοσιώσας τὴν πόλιν ὑπήκοον τοῦ δικαίου καὶ
and having-consecrated the city obedient to-the just and
μᾶλλον εὐπειθῆ πρὸς ὁμόνοιαν κατέστησε. λέγεται δὲ τὴν
more persuadable toward concord he-made it-is-said and —
Μουνυχίαν ἰδὼν καὶ καταμαθὼν πολὺν χρόνον, εἰπεῖν
Munychia having-seen and having-studied(-it) much time to-have-said
πρὸς τοὺς παρόντας ὡς τυφλόν ἐστι τοῦ μέλλοντος
to the(-men) present that blind is of-the future
ἄνθρωπος· ἐκφαγεῖν γὰρ ἂν Ἀθηναίους τοῖς αὑτῶν ὀδοῦσιν,
man would-eat-up for — Athenians with-the their-own teeth
εἰ προῄδεσαν ὅσα τὴν πόλιν ἀνιάσει τὸ χωρίον· ὅμοιον
if they-foreknew how-much the city will-vex the place similar
δέ τι καὶ Θαλῆν εἰκάσαι λέγουσι· κελεῦσαι
and some(-thing) also Thales to-have-conjectured they-say to-have-ordered

γὰρ αὐτὸν ἔν τινι τόπῳ τῆς Μιλησίας φαύλῳ καὶ
for him in some place of-the Milesian(-land) mean and
παρορωμένῳ τελευτήσαντα θεῖναι, προειπὼν ὡς ἀγορά
overlooked having-died to-lay(-him) having-foretold that a-market-place
ποτε τοῦτο Μιλησίων ἔσται τὸ χωρίον. Ἐπιμενίδης μὲν
someday this of-Milesians will-be the place Epimenides indeed
οὖν μάλιστα θαυμασθείς, καὶ χρήματα διδόντων πολλὰ
then most having-been-admired and money giving much
καὶ τιμὰς μεγάλας τῶν Ἀθηναίων, οὐδὲν ἢ θαλλὸν ἀπὸ
and honors great the Athenians nothing than a-sprig from
τῆς ἱερᾶς ἐλαίας αἰτησάμενος καὶ λαβὼν ἀπῆλθεν.
the sacred olive having-asked and having-received went-away

IV · THE SHAKING-OFF OF BURDENS

Athens divides into the Hill, the Plain, and the Shore, and the poor are enslaved for debt. Solon is chosen archon and arbiter. Urged to make himself tyrant, he refuses and writes of those who mocked him. His first measure, the seisachtheia, cancels debts and frees those enslaved; his friends, warned beforehand, borrow to buy land, and he is slandered, though he himself lost five talents. The rich resent the cancellation, the poor the lack of land redistribution, but soon they sacrifice together and give him power over every office and law.

13 Οἱ δ' Ἀθηναῖοι τῆς Κυλωνείου πεπαυμένης ταραχῆς καὶ
the and Athenians the Cylonian having-ceased disturbance and
μεθεστώτων, ὥσπερ εἴρηται, τῶν ἐναγῶν, τὴν παλαιὰν
having-departed as has-been-said the accursed(-men) the old
αὖθις στάσιν ὑπὲρ τῆς πολιτείας ἐστασίαζον, ὅσας ἡ χώρα
again strife about the constitution were-at-strife as-many-as the land
διαφορὰς εἶχεν, εἰς τοσαῦτα μέρη τῆς πόλεως διαστάσης.
differences had into so-many parts the city being-divided

ἦν γὰρ τὸ μὲν τῶν Διακρίων γένος δημοκρατικώτατον,
was for the indeed of-the Hill-men class most-democratic
ὀλιγαρχικώτατον δὲ τὸ τῶν Πεδιέων· τρίτοι δ' οἱ Πάραλοι
most-oligarchic and that of-the Plain-men third and the Shore-men
μέσον τινὰ καὶ μεμιγμένον αἱρούμενοι πολιτείας τρόπον,
middle some and mixed choosing of-constitution kind
ἐμποδὼν ἦσαν καὶ διεκώλυον τοὺς ἑτέρους κρατῆσαι. τότε
in-the-way were and prevented the others to-prevail then
δὲ τῆς τῶν πενήτων πρὸς τοὺς πλουσίους ἀνωμαλίας
and the of-the poor toward the rich inequality
ὥσπερ ἀκμὴν λαβούσης παντάπασιν ἐπισφαλῶς ἡ πόλις
as-it-were a-peak having-taken altogether precariously the city
διέκειτο, καὶ μόνως ἂν ἐδόκει καταστῆναι καὶ παύσασθαι
was-placed and in-one-way-only — it-seemed to-be-settled and to-cease
ταραττομένη τυραννίδος γενομένης. ἅπας μὲν γὰρ ὁ δῆμος
being-disturbed tyranny having-arisen all indeed for the people
ἦν ὑπόχρεως τῶν πλουσίων. ἢ γὰρ ἐγεώργουν ἐκείνοις
was in-debt to-the rich either for they-farmed for-them
ἕκτα τῶν γινομένων τελοῦντες, ἑκτημόριοι προσαγορευόμενοι
sixths of-the produce paying sixth-parters being-called
καὶ θῆτες, ἢ χρέα λαμβάνοντες ἐπὶ τοῖς σώμασιν ἀγώγιμοι
and laborers or debts taking on the bodies liable-to-seizure
τοῖς δανείζουσιν ἦσαν, οἱ μὲν αὐτοῦ δουλεύοντες,
by-those lending were the(-ones) indeed there being-slaves
οἱ δ' ἐπὶ τὴν ξένην πιπρασκόμενοι. πολλοὶ δὲ
the(-others) and to the foreign(-land) being-sold many and
καὶ παῖδας ἰδίους ἠναγκάζοντο πωλεῖν (οὐδεὶς γὰρ νόμος
also children own were-compelled to-sell no for law
ἐκώλυε) καὶ τὴν πόλιν φεύγειν διὰ τὴν χαλεπότητα τῶν
prevented and the city to-flee because-of the harshness of-the
δανειστῶν. οἱ δὲ πλεῖστοι καὶ ῥωμαλεώτατοι συνίσταντο
lenders the but most and sturdiest banded-together

καὶ παρεκάλουν ἀλλήλους μὴ περιορᾶν, ἀλλ᾽ ἑλομένους ἕνα
and exhorted one-another not to-look-on but having-chosen one
προστάτην ἄνδρα πιστὸν ἀφελέσθαι τοὺς ὑπερημέρους καὶ
leader a-man trustworthy to-free the defaulters and
τὴν γῆν ἀναδάσασθαι καὶ ὅλως μεταστῆσαι τὴν πολιτείαν.
the land to-redistribute and wholly to-change the constitution
14 Ἐνταῦθα δὴ τῶν Ἀθηναίων οἱ φρονιμώτατοι συνορῶντες
then indeed of-the Athenians the most-sensible seeing
τὸν Σόλωνα μόνον μάλιστα τῶν ἁμαρτημάτων ἐκτὸς ὄντα,
— Solon alone most of-the errors outside being
καὶ μήτε τοῖς πλουσίοις κοινωνοῦντα τῆς ἀδικίας μήτε ταῖς
and neither with-the rich sharing of-the injustice nor by-the
τῶν πενήτων ἀνάγκαις ἐνεχόμενον, ἐδέοντο τοῖς κοινοῖς
of-the poor necessities being-held begged(-him) the common(-affairs)
προσελθεῖν καὶ καταπαῦσαι τὰς διαφοράς. καίτοι Φανίας ὁ
to-approach and to-end the differences and-yet Phanias the
Λέσβιος αὐτὸν ἱστορεῖ τὸν Σόλωνα, χρησάμενον ἀπάτῃ πρὸς
Lesbian him records — Solon having-used deceit toward
ἀμφοτέρους ἐπὶ σωτηρίᾳ τῆς πόλεως, ὑποσχέσθαι κρύφα τοῖς
both for safety of-the city to-have-promised secretly to-the
μὲν ἀπόροις τὴν νέμησιν, τοῖς δὲ χρηματικοῖς βεβαίωσιν
indeed resourceless the distribution to-the and moneyed confirmation
τῶν συμβολαίων. ἀλλ᾽ αὐτὸς ὁ Σόλων ὀκνῶν φησι τὸ
of-the contracts but himself — Solon hesitating says the
πρῶτον ἅψασθαι τῆς πολιτείας, καὶ δεδοικὼς τῶν μὲν
first to-have-taken-up the government and fearing of-the(-ones) indeed
τὴν φιλοχρηματίαν, τῶν δὲ τὴν ὑπερηφανίαν. ᾑρέθη
the love-of-money of-the(-others) and the arrogance he-was-chosen
δὲ ἄρχων μετὰ Φιλόμβροτον ὁμοῦ καὶ διαλλακτὴς καὶ
and archon after Philombrotus at-once both arbitrator and
νομοθέτης, δεξαμένων προθύμως αὐτὸν ὡς μὲν εὔπορον
lawgiver having-accepted(-him) eagerly him as indeed well-off

τῶν πλουσίων, ὡς δὲ χρηστὸν τῶν πενήτων. λέγεται δὲ
the rich as but honest the poor it-is-said and
καὶ φωνή τις αὐτοῦ περιφερομένη πρότερον, εἰπόντος ὡς
also saying some his being-carried-about before having-said that
τὸ ἴσον πόλεμον οὐ ποιεῖ, καὶ τοῖς κτηματικοῖς ἀρέσκειν
the equal war not makes and the propertied(-men) to-please
καὶ τοῖς ἀκτήμοσι, τῶν μὲν ἀξίᾳ καὶ ἀρετῇ, τῶν δὲ
and the propertyless the(-ones) indeed by-worth and virtue the(-others) and
μέτρῳ καὶ ἀριθμῷ τὸ ἴσον ἕξειν προσδοκώντων· ὅθεν
by-measure and number the equal going-to-have expecting whence
ἐπ᾽ ἐλπίδος μεγάλης ἑκατέρων γενομένων οἱ προϊστάμενοι
in hope great both having-been the leaders
προσέκειντο τῷ Σόλωνι τυραννίδα προξενοῦντες καὶ
pressed-upon — Solon tyranny procuring and
ἀναπείθοντες εὐτολμότερον ἅψασθαι τῆς πόλεως ἐγκρατῆ
urging(-him) more-boldly to-take-hold-of the city master
γενόμενον. πολλοὶ δὲ καὶ τῶν διὰ μέσου πολιτῶν, τὴν
having-become many and also of-the in middle citizens the
ὑπὸ λόγου καὶ νόμου μεταβολὴν ὁρῶντες ἐργώδη καὶ
by reason and law change seeing laborious and
χαλεπὴν οὖσαν, οὐκ ἔφευγον ἕνα τὸν δικαιότατον καὶ
difficult being not shrank-from one the most-just and
φρονιμώτατον ἐπιστῆσαι τοῖς πράγμασιν. ἔνιοι δέ φασι
most-sensible to-set-over the affairs some and say
καὶ μαντείαν γενέσθαι τῷ Σόλωνι Πυθοῖ τοιαύτην·
also an-oracle to-have-come — to-Solon at-Pytho such

῾Ησο μέσην κατὰ νῆα κυβερνητήριον ἔργον
Sit middle along the-ship the-helmsman's work
εὐθύνων· πολλοί τοι Ἀθηναίων ἐπίκουροι.
steering many surely of-Athenians (are)-helpers

μάλιστα δὲ οἱ συνήθεις ἐκάκιζον εἰ διὰ τοὔνομα
most and the intimates reproached(-him) if because-of the-name
δυσωπεῖται τὴν μοναρχίαν, ὥσπερ οὐκ ἀρετῇ τοῦ
he-is-put-off the monarchy as-though not by-virtue of-the(-one)
λαβόντος εὐθὺς ἂν βασιλείαν γενομένην, καὶ γεγενημένην
taking(-it) at-once — a-kingship having-become and having-become
πρότερον μὲν Εὐβοεῦσι Τυννώνδαν, νῦν δὲ Μιτυληναίοις
before indeed for-Euboeans Tynnondas now and for-Mitylenaeans
Πιττακὸν ᾑρημένοις τύραννον.
Pittacus having-chosen tyrant
Τούτων οὐδὲν ἐξέκρουσε τὸν Σόλωνα τῆς αὑτοῦ
of-these none dislodged — Solon from-the his-own
προαιρέσεως, ἀλλὰ πρὸς μὲν τοὺς φίλους εἶπεν, ὡς
choice but to indeed the friends he-said as
λέγεται, καλὸν μὲν εἶναι τὴν τυραννίδα χωρίον, οὐκ ἔχειν
it-is-said fine indeed to-be the tyranny a-place not to-have
δὲ ἀπόβασιν, πρὸς δὲ Φῶκον ἐν τοῖς ποιήμασι γράφων·
but a-way-out to and Phocus in the poems writing

Εἰ δὲ γῆς (φησίν) ἐφεισάμην
If and land he-says I-spared
πατρίδος, τυραννίδος δὲ καὶ βίης ἀμειλίχου
fatherland of-tyranny and and of-violence ungentle
οὐ καθηψάμην μιάνας καὶ καταισχύνας κλέος,
not laid-bold having-stained and having-disgraced glory
οὐδὲν αἰδεῦμαι· πλέον γὰρ ὧδε
nothing I-am-ashamed more for so
νικήσειν δοκέω πάντας ἀνθρώπους.
to-win I-think all men

ὅθεν εὔδηλον ὅτι καὶ πρὸ τῆς νομοθεσίας μεγάλην δόξαν
whence quite-clear that even before the legislation great reputation
εἶχεν. ἃ δὲ φυγόντος αὐτοῦ τὴν τυραννίδα πολλοὶ
he-had what and having-fled him the tyranny many
καταγελῶντες ἔλεγον, γέγραφεν οὕτως·
laughing-at(-him) said has-written thus

Οὐκ ἔφυ Σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνήρ·
Not was-born Solon deep-minded nor counsel-wise man
ἐσθλὰ γὰρ θεοῦ διδόντος αὐτὸς οὐκ ἐδέξατο.
good(-things) for god giving himself not he-received
περιβαλὼν δ' ἄγραν ἀγασθεὶς οὐκ ἐπέσπασεν μέγα
having-cast-around and the-catch amazed not he-drew-up great
δίκτυον, θυμοῦ θ' ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς.
the-net of-spirit both at-once and of-wits having-fallen-short
ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβὼν
I-would-have-wished for — having-ruled wealth ungrudged having-taken
καὶ τυραννεύσας Ἀθηνῶν μοῦνον ἡμέραν μίαν,
and having-been-tyrant of-Athens only day one
ἀσκὸς ὕστερον δεδάρθαι κἀπιτετρῖφθαι γένος.
a-wineskin afterward to-have-been-flayed and-to-have-been-wiped-out family

Ταῦτα τοὺς πολλοὺς καὶ φαύλους περὶ αὐτοῦ πεποίηκε 15
these-things the many and base(-men) about him he-has-made
λέγοντας. οὐ μὴν ἀπωσάμενός γε τὴν τυραννίδα
saying not indeed having-rejected at-least the tyranny
τὸν πρᾳότατον ἐχρήσατο τρόπον τοῖς πράγμασιν, οὐδὲ
the gentlest he-used manner in-the affairs nor
μαλακῶς οὐδ' ὑπείκων τοῖς δυναμένοις οὐδὲ πρὸς ἡδονὴν
softly nor yielding to-the powerful nor for pleasure
τῶν ἑλομένων ἔθετο τοὺς νόμους· ἀλλ' ᾗ μὲν
of-those having-chosen(-him) he-established the laws but where indeed

ἄριστον ἦν, οὐκ ἐπήγαγεν ἰατρείαν οὐδὲ καινοτομίαν,
best it-was not he-applied cure nor innovation
φοβηθεὶς μὴ συγχέας παντάπασι καὶ ταράξας τὴν
having-feared lest having-confounded altogether and having-disturbed the
πόλιν ἀσθενέστερος γένηται τοῦ καταστῆσαι πάλιν καὶ
city weaker he-become than-the to-settle(-it) again and
συναρμόσασθαι πρὸς τὸ ἄριστον· ἃ δὲ καὶ λέγων
to-tune(-it) toward the best what but both by-speaking
ἤλπιζε πειθομένοις καὶ προσάγων ἀνάγκην ὑπομένουσι
he-hoped with-them-persuaded and by-applying compulsion with-them-enduring
χρήσασθαι, ταῦτ' ἔπραττεν, ὥς φησιν αὐτός,
to-use these-things he-did as says himself

Ὁμοῦ βίην τε καὶ δίκην συναρμόσας.
Together force both and justice having-fitted

ὅθεν ὕστερον ἐρωτηθεὶς εἰ τοὺς ἀρίστους Ἀθηναίοις
whence later having-been-asked whether the best for-Athenians
νόμους ἔγραψεν, "Ὧν ἄν," ἔφη, "προσεδέξαντο τοὺς
laws he-wrote of-those — he-said they-would-have-accepted the
ἀρίστους."
best
Ἃ δ' οὖν οἱ νεώτεροι τοὺς Ἀθηναίους λέγουσι τὰς τῶν
what and then the later(-writers) the Athenians say(-did) the of-the
πραγμάτων δυσχερείας ὀνόμασι χρηστοῖς καὶ φιλανθρώποις
matters unpleasantnesses with-names auspicious and kindly
ἐπικαλύπτοντας ἀστείως ὑποκορίζεσθαι, τὰς μὲν πόρνας
veiling wittily to-call-by-pet-names the indeed harlots
ἑταίρας, τοὺς δὲ φόρους συντάξεις, φυλακὰς δὲ τὰς φρουρὰς
companions the and tributes contributions guards and the garrisons
τῶν πόλεων, οἴκημα δὲ τὸ δεσμωτήριον καλοῦντας, πρώτου
of-the cities a-dwelling and the prison calling first

Σόλωνος ἦν, ὡς ἔοικε, σόφισμα τὴν τῶν χρεῶν ἀποκοπὴν
of-Solon was as it-seems a-clever-device the of-the debts cancellation
σεισάχθειαν ὀνομάσαντος. τοῦτο γὰρ ἐποιήσατο πρῶτον
a-shaking-off-of-burdens having-named this for he-made first
πολίτευμα, γράψας τὰ μὲν ὑπάρχοντα τῶν χρεῶν ἀνεῖσθαι,
measure having-written the indeed existing of-the debts to-be-remitted
πρὸς δὲ τὸ λοιπὸν ἐπὶ τοῖς σώμασι μηδένα δανείζειν. καίτοι
for and the future on the bodies no-one to-lend and-yet
τινὲς ἔγραψαν, ὧν ἐστὶν Ἀνδροτίων, οὐκ ἀποκοπῇ χρεῶν,
some have-written of-whom is Androtion not by-cancellation of-debts
ἀλλὰ τόκων μετριότητι κουφισθέντας ἀγαπῆσαι τοὺς
but of-interest by-moderation having-been-relieved to-have-been-content the
πένητας, καὶ σεισάχθειαν ὀνομάσαι τὸ φιλανθρώπευμα
poor and a-shaking-off-of-burdens to-have-named the kindness
τοῦτο καὶ τὴν ἅμα τούτῳ γενομένην τῶν τε μέτρων
this and the together-with this having-arisen of-the both measures
ἐπαύξησιν καὶ τοῦ νομίσματος τιμήν. ἑκατὸν γὰρ ἐποίησε
increase and of-the money value a-hundred for he-made
δραχμῶν τὴν μνᾶν πρότερον ἑβδομήκοντα καὶ τριῶν οὖσαν,
of-drachmas the mina before seventy and three being
ὥστ' ἀριθμῷ μὲν ἴσον, δυνάμει δ' ἔλαττον ἀποδιδόντων,
so-that in-number indeed equal in-value but less paying
ὠφελεῖσθαι μὲν τοὺς ἐκτίνοντας μεγάλα, μηδὲν δὲ
to-be-benefited indeed the(-men) paying-off greatly in-nothing and
βλάπτεσθαι τοὺς κομιζομένους. οἱ δὲ πλεῖστοι πάντων ὁμοῦ
to-be-harmed the(-men) receiving the but most of-all together
φασι τῶν συμβολαίων ἀναίρεσιν γενέσθαι τὴν σεισάχθειαν,
say of-the contracts an-abolition to-have-been the shaking-off-of-burdens

καὶ τούτοις συνᾴδει μᾶλλον τὰ ποιήματα. Σεμνύεται γὰρ
and with-these agree more the poems prides-himself for
Σόλων ἐν τούτοις ὅτι τῆς τε προϋποκειμένης γῆς
Solon in these that of-the both mortgaged land

Ὅρους ἀνεῖλε πολλαχῆ πεπηγότας·
Boundary-stones he-removed in-many-places planted
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα·
before and being-a-slave now free

καὶ τῶν ἀγωγίμων πρὸς ἀργύριον γεγονότων πολιτῶν
and of-the liable-to-seizure for silver having-been citizens
τοὺς μὲν ἀνήγαγεν ἀπὸ ξένης,
the(-ones) indeed he-brought-back from foreign(-land)

γλῶσσαν οὐκέτ᾽ Ἀττικὴν
a-tongue no-longer Attic
ἱέντας, ὡς ἂν πολλαχῆ πλανωμένους·
uttering as — in-many-places wandering
τοὺς δ᾽ ἐνθάδ᾽ αὐτοῦ δουλίην ἀεικέα ἔχοντας
those and here in-the-place slavery unseemly having

ἐλευθέρους φησὶ ποιῆσαι.
free he-says to-have-made
Πρᾶγμα δ᾽ αὐτῷ συμπεσεῖν λέγεται πάντων ἀνιαρότατον
a-thing and to-him to-have-befallen is-said of-all most-vexing
ἀπὸ τῆς πράξεως ἐκείνης. ὡς γὰρ ὥρμησεν ἀνιέναι
from the action that when for he-set-out to-remit
τὰ χρέα καὶ λόγους ἁρμόττοντας ἐζήτει καὶ πρέπουσαν
the debts and words fitting he-sought and suitable
ἀρχήν, ἐκοινώσατο τῶν φίλων οἷς μάλιστα πιστεύων
beginning he-communicated-with of-the friends whom most trusting

καὶ χρώμενος ἐτύγχανε, τοῖς περὶ Κόνωνα καὶ Κλεινίαν
and associating-with he-happened those about Conon and Cleinias
καὶ Ἱππόνικον, ὅτι γῆν μὲν οὐ μέλλει κινεῖν, χρεῶν
and Hipponicus that the-land indeed not he-is-going to-disturb of-debts
δὲ ποιεῖν ἀποκοπὰς ἔγνωκεν. οἱ δὲ προλαβόντες εὐθὺς
but to-make cancellations he-has-resolved they and anticipating at-once
καὶ φθάσαντες ἐδανείσαντο συχνὸν ἀργύριον παρὰ τῶν
and getting-ahead borrowed much silver from the
πλουσίων καὶ μεγάλας συνεωνήσαντο χώρας. εἶτα τοῦ
rich and large bought-up lands then the
δόγματος ἐξενεχθέντος τὰ μὲν κτήματα καρπούμενοι,
decree having-been-published the indeed estates enjoying
τὰ δὲ χρήματα τοῖς δανείσασιν οὐκ ἀποδιδόντες,
the and moneys to-the(-men) having-lent not paying-back
εἰς αἰτίαν τὸν Σόλωνα μεγάλην καὶ διαβολήν, ὥσπερ
into accusation — Solon great and slander as-though
οὐ συναδικούμενον, ἀλλὰ συναδικοῦντα, κατέστησαν.
not wronged-with(-them) but wronging-with(-them) they-brought
ἀλλὰ τοῦτο μὲν εὐθὺς ἐλύθη τὸ ἔγκλημα τοῖς πέντε
but this indeed at-once was-dissolved the charge by-the five
ταλάντοις· τοσαῦτα γὰρ εὑρέθη δανείζων, καὶ ταῦτα
talents so-many for he-was-found lending and these
πρῶτος ἀφῆκε κατὰ τὸν νόμον. ἔνιοι δὲ πεντεκαίδεκα
first he-remitted according-to the law some and fifteen
λέγουσιν, ὧν καὶ Πολύζηλος ὁ Ῥόδιός ἐστι. τοὺς
say of-whom also Polyzelus the Rhodian is the
μέντοι φίλους αὐτοῦ χρεωκοπίδας καλοῦντες διετέλεσαν.
however friends his debt-cutters calling continued
Ἤρεσε δ' οὐδετέροις, ἀλλ' ἐλύπησε καὶ τοὺς πλουσίους 16
he-pleased and neither(-side) but he-grieved both the rich
ἀνελὼν τὰ συμβόλαια, καὶ μᾶλλον ἔτι τοὺς πένητας,
having-abolished the contracts and more still the poor

ὅτι γῆς ἀναδασμὸν οὐκ ἐποίησεν ἐλπίσασιν αὐτοῖς,
because of-land redistribution not he-made having-hoped for-them
οὐδὲ παντάπασιν, ὥσπερ ὁ Λυκοῦργος, ὁμαλοὺς τοῖς
nor altogether as — Lycurgus equal in-the
βίοις καὶ ἴσους κατέστησεν. ἀλλ᾽ ἐκεῖνος μὲν ἑνδέκατος
livelihoods and equal established(-them) but he indeed eleventh
ὢν ἀφ᾽ Ἡρακλέους καὶ βεβασιλευκὼς ἔτη πολλὰ τῆς
being from Heracles and having-reigned years many —
Λακεδαίμονος, ἀξίωμα μέγα καὶ φίλους καὶ δύναμιν οἷς
of-Lacedaemon dignity great and friends and power for-what
ἔγνω καλῶς περὶ τῆς πολιτείας ὑπηρετοῦσαν εἶχε, καὶ
he-judged well about the constitution serving had and
βίᾳ μᾶλλον ἢ πειθοῖ χρησάμενος, ὥστε καὶ τὸν
by-force rather than by-persuasion having-used so-that even the
ὀφθαλμὸν ἐκκοπῆναι, κατειργάσατο τὸ μέγιστον εἰς
eye to-be-knocked-out he-achieved the greatest(-thing) for
σωτηρίαν πόλεως καὶ ὁμόνοιαν, μηδένα πένητα μηδὲ
safety of-a-city and concord no-one poor nor
πλούσιον εἶναι τῶν πολιτῶν· Σόλων δὲ τούτου μὲν
rich to-be of-the citizens Solon and this indeed
οὐκ ἐφίκετο τῇ πολιτείᾳ δημοτικὸς ὢν καὶ μέσος,
not reached in-the constitution popular being and middling
ἐνδεέστερον δὲ τῆς ὑπαρχούσης δυνάμεως οὐδὲν ἔπραξεν,
less and than-the existing power nothing he-did
ὁρμώμενος ἐκ μόνου τοῦ βούλεσθαι καὶ πιστεύειν αὐτῷ
setting-out from only the to-wish and to-trust him

τοὺς πολίτας. ὅτι δ' οὖν προσέκρουσε τοῖς πλείστοις
the citizens that and then he-offended the most
ἕτερα προσδοκήσασιν, αὐτὸς εἴρηκε περὶ αὐτῶν, ὡς
other(-things) having-expected himself has-said about them that

Χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
Vain-things indeed then they-devised now but at-me being-angry
λοξὸν ὀφθαλμοῖς ὁρῶσι πάντες ὥστε δήϊον.
askance with-eyes look all as-at an-enemy

καίτοι φησὶν ὡς, εἴ τις ἄλλος ἔσχε τὴν αὐτὴν δύναμιν,
and-yet he-says that if any other had the same power

Οὐκ ἂν κατέσχε δῆμον, οὐδ' ἐπαύσατο,
Not — he-would-have-restrained the-people nor stopped
πρὶν ἀνταράξας, πῖαρ ἐξεῖλεν γάλα.
before having-churned-up the-cream took-out the-milk

Ταχὺ μέντοι τοῦ συμφέροντος αἰσθόμενοι καὶ τὰς ἰδίας
quickly however the advantage having-perceived and the own
αὐτῶν μέμψεις ἀφέντες ἔθυσάν τε κοινῇ, σεισάχθειαν
their complaints having-dropped they-sacrificed both in-common shaking-off-of-burdens
τὴν θυσίαν ὀνομάσαντες, καὶ τὸν Σόλωνα τῆς πολιτείας
the sacrifice having-named and — Solon of-the constitution
διορθωτὴν καὶ νομοθέτην ἀπέδειξαν, οὐ τὰ μέν,
reformer and lawgiver appointed not the(-things) indeed
τὰ δ' οὐχί, πάντα δ' ὁμαλῶς ἐπιτρέψαντες,
the(-things) but not all but alike having-entrusted(-to-him)
ἀρχάς, ἐκκλησίας, δικαστήρια, βουλάς, καὶ τίμημα
magistracies assemblies law-courts councils and the-property-rating
τούτων ἑκάστου καὶ ἀριθμὸν καὶ καιρὸν ὁρίσαι, λύοντα
of-these each and number and time to-define abolishing

καὶ φυλάττοντα τῶν ὑπαρχόντων καὶ καθεστώτων ὅ
and keeping of-the existing and established(-things) what
τι δοκοίη.
ever should-seem-good

V · CLASSES, COUNCILS, AND LAWS

Solon repeals Draco's laws except those on homicide. He divides the citizens into four classes by income, keeps the offices for the rich, and gives the poorest a share in the assembly and the courts; his laws' obscurity strengthens the courts. He makes anyone free to seek justice for the wronged, creates a second council, and sets the Areopagus over all. Among his laws: disenfranchisement for neutrality in faction, the rules for heiresses, and the abolition of dowries.

17 Πρῶτον μὲν οὖν τοὺς Δράκοντος νόμους ἀνεῖλε πλὴν τῶν
first indeed then the of-Draco laws he-repealed except the
φονικῶν ἅπαντας, διὰ τὴν χαλεπότητα καὶ τὸ μέγεθος
homicide(-laws) all because-of the severity and the magnitude
τῶν ἐπιτιμίων. μία γὰρ ὀλίγου δεῖν ἅπασιν ὥριστο τοῖς
of-the penalties one for of-little to-lack for-all had-been-fixed the
ἁμαρτάνουσι ζημία θάνατος, ὥστε καὶ τοὺς ἀργίας ἁλόντας
offenders penalty death so-that even those of-idleness convicted
ἀποθνήσκειν, καὶ τοὺς λάχανα κλέψαντας ἢ ὀπώραν
to-die and those vegetables having-stolen or fruit
ὁμοίως κολάζεσθαι τοῖς ἱεροσύλοις καὶ ἀνδροφόνοις. διὸ
alike to-be-punished with-the temple-robbers and murderers wherefore
Δημάδης ὕστερον εὐδοκίμησεν εἰπὼν ὅτι δι' αἵματος, οὐ διὰ
Demades later was-esteemed having-said that with blood not with
μέλανος, τοὺς νόμους ὁ Δράκων ἔγραψεν. αὐτὸς δ' ἐκεῖνος,
ink the laws — Draco wrote himself and he
ὥς φασιν, ἐρωτώμενος διὰ τί τοῖς πλείστοις ἀδικήμασι
as they-say being-asked because-of what for-the most offenses

ζημίαν ἔταξε θάνατον, ἀπεκρίνατο τὰ μὲν μικρὰ
as-penalty he-fixed death answered the(-ones) indeed small
ταύτης ἄξια νομίζειν, τοῖς δὲ μεγάλοις οὐκ ἔχειν μείζονα.
this deserving to-think for-the and great not to-have a-greater
Δεύτερον δὲ Σόλων τὰς μὲν ἀρχὰς ἁπάσας, ὥσπερ 18
second and Solon the indeed offices all as
ἦσαν, τοῖς εὐπόροις ἀπολιπεῖν βουλόμενος, τὴν δ' ἄλλην
they-were to-the well-to-do to-leave wishing the and other
μῖξαι πολιτείαν, ἧς ὁ δῆμος οὐ μετεῖχεν, ἔλαβε
to-mix constitution of-which the people not had-share he-took
τὰ τιμήματα τῶν πολιτῶν, καὶ τοὺς μὲν ἐν ξηροῖς
the property-ratings of-the citizens and the(-men) indeed in dry
ὁμοῦ καὶ ὑγροῖς μέτρα πεντακόσια ποιοῦντας πρώτους
together and liquid measures five-hundred producing first
ἔταξε καὶ πεντακοσιομεδίμνους προσηγόρευσε· δευτέρους
he-ranked and five-hundred-bushel-men called second
δὲ τοὺς ἵππον τρέφειν δυναμένους ἢ μέτρα ποιεῖν
and those a-horse to-keep able or measures to-produce
τριακόσια· καὶ τούτους ἱππάδα τελοῦντας ἐκάλουν· ζευγῖται
three-hundred and these knighthood paying they-called zeugitae
δ' οἱ τοῦ τρίτου τιμήματος ὠνομάσθησαν, οἷς
and the(-men) of-the third rating were-named whose
μέτρον ἦν συναμφοτέρων διακοσίων. οἱ δὲ λοιποὶ πάντες
measure was of-both-together two-hundred the and rest all
ἐκαλοῦντο θῆτες, οἷς οὐδεμίαν ἄρχειν ἔδωκεν ἀρχήν,
were-called thetes to-whom no to-hold he-gave office
ἀλλὰ τῷ συνεκκλησιάζειν καὶ δικάζειν μόνον μετεῖχον
but by-the to-attend-the-assembly and to-serve-as-jurors only they-shared-in
τῆς πολιτείας. ὃ κατ' ἀρχὰς μὲν οὐδέν, ὕστερον δὲ
the constitution which at beginnings indeed nothing later but
παμμέγεθες ἐφάνη· τὰ γὰρ πλεῖστα τῶν διαφόρων ἐνέπιπτεν
very-great appeared the for most of-the disputes fell

εἰς τοὺς δικαστάς. καὶ γὰρ ὅσα ταῖς ἀρχαῖς ἔταξε
to the jurors and for as-many-as to-the magistrates he-ordained
κρίνειν, ὁμοίως καὶ περὶ ἐκείνων εἰς τὸ δικαστήριον ἐφέσεις
to-decide likewise also about those to the law-court appeals
ἔδωκε τοῖς βουλομένοις. λέγεται δὲ καὶ τοὺς νόμους
he-gave to-those wishing it-is-said and also the laws
ἀσαφέστερον γράψας καὶ πολλὰς ἀντιλήψεις ἔχοντας
rather-obscurely having-written and many interpretations having
αὐξῆσαι τὴν τῶν δικαστηρίων ἰσχύν· μὴ δυναμένους γὰρ
to-have-increased the of-the law-courts power not being-able for
ὑπὸ τῶν νόμων διαλυθῆναι περὶ ὧν διεφέροντο, συνέβαινεν
by the laws to-be-settled about what they-disagreed it-happened
ἀεὶ δεῖσθαι δικαστῶν καὶ πᾶν ἄγειν ἀμφισβήτημα
always to-need jurors and every to-bring dispute
πρὸς ἐκείνους, τρόπον τινὰ τῶν νόμων κυρίους ὄντας.
before those in-a-way some of-the laws masters being
ἐπισημαίνεται δ' αὐτὸς αὑτῷ τὴν ἀξίωσιν οὕτως·
indicates and he-himself to-himself the claim thus

Δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος ὅσσον ἀπαρκεῖ,
To-the-people indeed for I-gave so-much power as suffices
τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος·
of-honor neither taking-away nor reaching-out-for(-more)
οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί,
those-who and had power and in-wealth were admired
καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν.
also for-these I-took-thought nothing unseemly to-have
ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι·
I-stood and having-thrown-around a-strong shield over-both
νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.
to-win and not I-allowed neither unjustly

Ἔτι μέντοι μᾶλλον οἰόμενος δεῖν ἐπαρκεῖν τῇ τῶν
still however more thinking it-needful to-succor the of-the
πολλῶν ἀσθενείᾳ, παντὶ λαβεῖν δίκην ὑπὲρ τοῦ
many weakness to-everyone to-take justice on-behalf-of the(-one)
κακῶς πεπονθότος ἔδωκε. καὶ γὰρ πληγέντος ἑτέρου καὶ
badly having-suffered he-gave and for having-been-struck another and
βιασθέντος ἢ βλαβέντος ἐξῆν τῷ δυναμένῳ καὶ
having-been-forced or having-been-harmed it-was-possible for-the(-one) able and
βουλομένῳ γράφεσθαι τὸν ἀδικοῦντα καὶ διώκειν, ὀρθῶς
willing to-indict the wrongdoer and to-prosecute rightly
ἐθίζοντος τοῦ νομοθέτου τοὺς πολίτας ὥσπερ ἑνὸς μέρη
accustoming the lawgiver the citizens as of-one parts
σώματος συναισθάνεσθαι καὶ συναλγεῖν ἀλλήλοις. τούτῳ
body to-feel-together and to-suffer-together with-one-another with-this
δὲ τῷ νόμῳ συμφωνοῦντα λόγον αὐτοῦ διαμνημονεύουσιν.
and the law agreeing a-saying his they-record
ἐρωτηθεὶς γάρ, ὡς ἔοικεν, ἥτις οἰκεῖται κάλλιστα τῶν
having-been-asked for as it-seems which is-governed best of-the
πόλεων, "Ἐκείνη," εἶπεν, "ἐν ᾗ τῶν ἀδικουμένων
cities that(-one) he-said in which of-the(-ones) wronged
οὐχ ἧττον οἱ μὴ ἀδικούμενοι προβάλλονται καὶ
no less the(-ones) not wronged come-forward and
κολάζουσι τοὺς ἀδικοῦντας."
punish the wrongdoers

Συστησάμενος δὲ τὴν ἐν Ἀρείῳ πάγῳ βουλὴν ἐκ τῶν 19
having-formed and the on Ares' hill council from the(-men)
κατ' ἐνιαυτὸν ἀρχόντων, ἧς διὰ τὸ ἄρξαι
by year archons of-which because-of the to-have-been-archon
καὶ αὐτὸς μετεῖχεν, ἔτι δ' ὁρῶν τὸν δῆμον οἰδοῦντα
also himself had-share still and seeing the people swelling
καὶ θρασυνόμενον τῇ τῶν χρεῶν ἀφέσει, δευτέραν
and growing-bold with-the of-the debts remission a-second

προσκατένειμε βουλήν, ἀπὸ φυλῆς ἑκάστης, τεττάρων
he-assigned-in-addition council from tribe each four
οὐσῶν, ἑκατὸν ἄνδρας ἐπιλεξάμενος, οὓς προβουλεύειν
being a-hundred men having-selected whom to-deliberate-beforehand
ἔταξε τοῦ δήμου καὶ μηδὲν ἐᾶν ἀπροβούλευτον εἰς
he-ordered for-the people and nothing to-allow not-deliberated-beforehand to
ἐκκλησίαν εἰσφέρεσθαι. τὴν δ' ἄνω βουλὴν ἐπίσκοπον
assembly to-be-brought the and upper council overseer
πάντων καὶ φύλακα τῶν νόμων ἐκάθισεν, οἰόμενος ἐπὶ δυσὶ
of-all and guardian of-the laws he-seated thinking on two
βουλαῖς ὥσπερ ἀγκύραις ὁρμοῦσαν ἧττον ἐν σάλῳ τὴν
councils as-on anchors riding less in tossing the
πόλιν ἔσεσθαι καὶ μᾶλλον ἀτρεμοῦντα τὸν δῆμον παρέξειν.
city to-be and more quiet the people to-render
Οἱ μὲν οὖν πλεῖστοι τὴν ἐξ Ἀρείου πάγου βουλήν,
the indeed then most the from Ares' hill council
ὥσπερ εἴρηται, Σόλωνα συστήσασθαί φασι· καὶ μαρτυρεῖν
as has-been-said Solon to-have-formed say and to-bear-witness
αὐτοῖς δοκεῖ μάλιστα τὸ μηδαμοῦ τὸν Δράκοντα λέγειν
for-them seems most the nowhere — Draco to-mention
μηδ' ὀνομάζειν Ἀρεοπαγίτας, ἀλλὰ τοῖς ἐφέταις ἀεὶ
nor to-name Areopagites but to-the ephetae always
διαλέγεσθαι περὶ τῶν φονικῶν. ὁ δὲ τρισκαιδέκατος ἄξων
to-address-himself about the homicide(-cases) the but thirteenth axon
τοῦ Σόλωνος τὸν ὄγδοον ἔχει τῶν νόμων οὕτως αὐτοῖς
— of-Solon the eighth has of-the laws thus in-the-very
ὀνόμασι γεγραμμένον. "Ἀτίμων ὅσοι ἄτιμοι ἦσαν
words written of-the-disfranchised as-many-as disfranchised were
πρὶν ἢ Σόλωνα ἄρξαι, ἐπιτίμους εἶναι πλὴν ὅσοι ἐξ
before than Solon to-be-archon enfranchised to-be except as-many-as from
Ἀρείου πάγου ἢ ὅσοι ἐκ τῶν ἐφετῶν ἢ ἐκ πρυτανείου
Ares' hill or as-many-as from the ephetae or from the-prytaneum

καταδικασθέντες ὑπὸ τῶν βασιλέων ἐπὶ φόνῳ ἢ σφαγαῖσιν
having-been-condemned by the kings for murder or slaughters
ἢ ἐπὶ τυραννίδι ἔφευγον ὅτε ὁ θεσμὸς ἐφάνη ὅδε.”
or for tyranny were-in-exile when the ordinance was-published this
ταῦτα δὴ πάλιν ὡς πρὸ τῆς Σόλωνος ἀρχῆς καὶ
these(-words) indeed again as before the of-Solon archonship and
νομοθεσίας τὴν ἐξ Ἀρείου πάγου βουλὴν οὖσαν ἐνδείκνυται.
legislation the from Ares' hill council being indicate
τίνες γὰρ ἦσαν οἱ πρὸ Σόλωνος ἐν Ἀρείῳ πάγῳ
who for were those before Solon on Ares' hill
καταδικασθέντες, εἰ πρῶτος Σόλων ἔδωκε τῇ ἐξ Ἀρείου
condemned if first Solon gave to-the from Ares'
πάγου βουλῇ τὸ κρίνειν; εἰ μὴ νὴ Δία γέγονέ τις ἀσάφεια
hill council the to-judge if not by Zeus has-occurred some obscurity
τοῦ γράμματος ἢ ἔκλειψις, ὥστε τοὺς ἡλωκότας ἐπ᾽ αἰτίαις
of-the writing or omission so-that those convicted on charges
αἷς κρίνουσι νῦν οἱ Ἀρεοπαγῖται καὶ ἐφέται καὶ πρυτάνεις,
which judge now the Areopagites and ephetae and prytanes
ὅτε ὁ θεσμὸς ἐφάνη ὅδε, μένειν ἀτίμους, τῶν ἄλλων
when the ordinance was-published this to-remain disfranchised the others
ἐπιτίμων γενομένων. ταῦτα μὲν οὖν καὶ αὐτὸς ἐπισκόπει.
enfranchised having-become these-things indeed then also yourself consider
Τῶν δ᾽ ἄλλων αὐτοῦ νόμων ἴδιος μὲν μάλιστα καὶ 20
of-the and other his laws peculiar indeed most and
παράδοξος ὁ κελεύων ἄτιμον εἶναι τὸν ἐν στάσει
paradoxical the(-one) commanding disfranchised to-be the(-man) in faction
μηδετέρας μερίδος γενόμενον. βούλεται δ᾽, ὡς ἔοικε, μὴ
of-neither side having-become he-wishes and as it-seems not
ἀπαθῶς μηδ᾽ ἀναισθήτως ἔχειν πρὸς τὸ κοινόν, ἐν
without-feeling nor insensibly to-be toward the commonwealth in
ἀσφαλεῖ θέμενον τὰ οἰκεῖα καὶ τῷ μὴ συναλγεῖν
safety having-placed the private(-affairs) and in-the not to-grieve-with

μηδὲ συννοσεῖν τῇ πατρίδι καλλωπιζόμενον, ἀλλ' αὐτόθεν
nor to-be-sick-with the fatherland priding-himself but at-once
τοῖς τὰ βελτίω καὶ δικαιότερα πράττουσι προσθέμενον,
to-those the better and juster(-things) doing having-attached-himself
συγκινδυνεύειν καὶ βοηθεῖν, μᾶλλον ἢ περιμένειν ἀκινδύνως
to-share-the-danger and to-help rather than to-wait-for without-risk
τὰ τῶν κρατούντων. ἄτοπος δὲ δοκεῖ καὶ γελοῖος
the(-things) of-the prevailing(-side) absurd and seems and ridiculous
ὁ τῇ ἐπικλήρῳ διδούς, ἂν ὁ κρατῶν καὶ
the(-law) to-the heiress granting if the(-man) having-power and
κύριος γεγονὼς κατὰ τὸν νόμον αὐτὸς μὴ δυνατὸς
master having-become according-to the law himself not able
ᾖ πλησιάζειν, ὑπὸ τῶν ἔγγιστα τοῦ ἀνδρὸς ὀπύεσθαι.
be to-have-intercourse by the nearest of-the husband to-be-married
καὶ τοῦτο δ' ὀρθῶς ἔχειν τινές φασι πρὸς τοὺς μὴ
and this but rightly to-be some say against those not
δυναμένους συνεῖναι, χρημάτων δ' ἕνεκα λαμβάνοντας
being-able to-cohabit of-money but for-the-sake taking
ἐπικλήρους καὶ τῷ νόμῳ καταβιαζομένους τὴν φύσιν.
heiresses and by-the law doing-violence-to the nature
ὁρῶντες γὰρ ᾧ βούλεται τὴν ἐπίκληρον συνοῦσαν
seeing for with-whom she-wishes the heiress associating-with
ἢ προήσονται τὸν γάμον ἢ μετ' αἰσχύνης καθέξουσι,
either they-will-give-up the marriage or with shame will-hold(-it)
φιλοπλουτίας καὶ ὕβρεως δίκην διδόντες. εὖ δ' ἔχει καὶ
of-love-of-wealth and of-insolence penalty paying well and is also
τὸ μὴ πᾶσιν, ἀλλὰ τῶν συγγενῶν τοῦ ἀνδρὸς ᾧ
the not with-all but of-the kinsmen of-the husband with-whom
βούλεται διαλέγεσθαι τὴν ἐπίκληρον, ὅπως οἰκεῖον ᾖ καὶ
she-wishes to-converse the heiress so-that kin be and
μετέχον τοῦ γένους τὸ τικτόμενον. εἰς τοῦτο δὲ συντελεῖ
sharing of-the family the offspring to this and contributes

καὶ τὸ τὴν νύμφην τῷ νυμφίῳ συγκαθείργνυσθαι μήλου
also the the bride with-the bridegroom to-be-shut-up of-an-apple
κυδωνίου κατατραγοῦσαν, καὶ τὸ τρὶς ἑκάστου μηνὸς
cydonian having-eaten and the three-times each month
ἐντυγχάνειν πάντως τῇ ἐπικλήρῳ τὸν λαβόντα. καὶ
to-meet surely the heiress the(-man) having-taken(-her) even
γὰρ εἰ μὴ γένοιντο παῖδες, ἀλλὰ τιμή τις ἀνδρὸς αὕτη
for if not there-be children but honor some of-a-man this
πρὸς σώφρονα γυναῖκα, καὶ φιλοφροσύνη πολλὰ τῶν
toward a-chaste wife and affection many of-the
συλλεγομένων ἑκάστοτε δυσχερῶν ἀφαιροῦσα, καὶ ταῖς
accumulating each-time vexations removing and with-the
διαφοραῖς οὐκ ἐῶσα παντάπασιν ἀποστραφῆναι. τῶν δ'
differences not allowing altogether to-be-estranged of-the and
ἄλλων γάμων ἀφεῖλε τὰς φερνάς, ἱμάτια τρία καὶ σκεύη
other marriages he-abolished the dowries cloaks three and furnishings
μικροῦ νομίσματος ἄξια κελεύσας, ἕτερον δὲ μηδὲν
of-small money worth having-ordered(-her) other and nothing
ἐπιφέρεσθαι τὴν γαμουμένην. οὐ γὰρ ἐβούλετο μισθοφόρον
to-bring-with the bride not for he-wished mercenary
οὐδ' ὤνιον εἶναι τὸν γάμον, ἀλλ' ἐπὶ τεκνώσει καὶ χάριτι
nor purchasable to-be the marriage but for begetting and grace
καὶ φιλότητι γίνεσθαι τὸν ἀνδρὸς καὶ γυναικὸς συνοικισμόν.
and affection to-take-place the of-man and woman union
ὁ μὲν γὰρ Διονύσιος, ἀξιούσης τῆς μητρὸς αὐτοῦ δοθῆναί
— indeed for Dionysius asking the mother his to-be-given
τινι τῶν πολιτῶν πρὸς γάμον, ἔφη τοὺς μὲν τῆς
to-some(-one) of-the citizens in marriage said the indeed of-the
πόλεως νόμους λελυκέναι τυραννῶν, τοὺς δὲ τῆς φύσεως
city laws to-have-broken being-tyrant those but of-the nature
οὐκ εἶναι δυνατὸς βιάζεσθαι γάμους νυμφαγωγῶν
not to-be able to-force marriages bringing-together-in-wedlock

παρ᾽ ἡλικίαν· ἐν δὲ ταῖς πόλεσι τὴν ἀταξίαν ταύτην
against age in and the cities the disorder this
οὐ δοτέον, οὐδὲ περιοπτέον ἀώρους καὶ ἀχαρίτους
not is-to-be-granted nor to-be-overlooked untimely and joyless
ἐπιπλοκὰς καὶ μηδὲν ἔργον γαμήλιον ἐχούσας μηδὲ τέλος.
couplings and no work nuptial having nor end
ἀλλὰ γέροντι νέαν ἀγομένῳ φαίη τις ἂν ἐμμελὴς
but to-an-old-man a-young(-wife) marrying might-say one — tactful
ἄρχων ἢ νομοθέτης τὸ πρὸς τὸν Φιλοκτήτην·
magistrate or lawgiver the(-line) to — Philoctetes

εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας,
well indeed how to-marry you-are-fit wretch

καὶ νέον ἐν δωματίῳ πλουσίας πρεσβύτιδος, ὥσπερ
and a-young(-man) in a-chamber of-a-rich old-woman like
οἱ πέρδικες, ἀπὸ συνουσίας παχυνόμενον ἐξανευρὼν
the partridges from intercourse fattening having-found-out
μετοικίσει πρὸς παρθένον νύμφην ἀνδρὸς δεομένην. ταῦτα
he-will-transfer to a-maiden bride a-husband needing these-things
μὲν οὖν περὶ τούτων.
indeed then about these(-matters)

Solon forbids speaking ill of the dead or of the living in temples, courts, and festivals. He allows wills, restrains women's processions and mourning, and makes a son bound to support his father only if taught a trade. Plutarch finds his penalties for rape and adultery strange, explains the value of money then, and records his laws on wells, planting, beehives, a ban on exporting any produce but oil, dogs that bite, and the naturalization of exiles and craftsmen.

21

Ἐπαινεῖται δὲ τοῦ Σόλωνος καὶ ὁ κωλύων νόμος
is-praised and — of-Solon also the forbidding law
τὸν τεθνηκότα κακῶς ἀγορεύειν. καὶ γὰρ ὅσιον τοὺς
the dead badly to-speak-of and for pious the(-men)
μεθεστῶτας ἱεροὺς νομίζειν, καὶ δίκαιον ἀπέχεσθαι τῶν
departed sacred to-consider and just to-abstain-from the
οὐχ ὑπαρχόντων, καὶ πολιτικὸν ἀφαιρεῖν τῆς ἔχθρας
not existing and statesmanlike to-take-away from-the enmity
τὸ ἀΐδιον. ζῶντα δὲ κακῶς λέγειν ἐκώλυσε πρὸς ἱεροῖς
the perpetual the-living and badly to-speak-of he-forbade at temples
καὶ δικαστηρίοις καὶ ἀρχείοις καὶ θεωρίας οὔσης
and law-courts and magistrates'-offices and spectacle being
ἀγώνων· ἢ τρεῖς δραχμὰς τῷ ἰδιώτῃ, δύο δ' ἄλλας
of-contests or three drachmas to-the private-person two and other
ἀποτίνειν εἰς τὸ δημόσιον ἔταξε. τὸ γὰρ μηδαμοῦ
to-pay into the public(-treasury) he-ordained the for nowhere
κρατεῖν ὀργῆς ἀπαίδευτον καὶ ἀκόλαστον· τὸ δὲ πανταχοῦ
to-master anger uneducated and licentious the but everywhere
χαλεπόν, ἐνίοις δὲ ἀδύνατον· δεῖ δὲ πρὸς τὸ δυνατὸν
difficult for-some and impossible it-is-needful and to the possible
γράφεσθαι τὸν νόμον, εἰ βούλεται χρησίμως ὀλίγους,
to-be-written the law if it-wishes usefully few
ἀλλὰ μὴ πολλοὺς ἀχρήστως κολάζειν.
but not many uselessly to-punish

Εὐδοκίμησε δὲ κἀν τῷ περὶ διαθηκῶν νόμῳ· πρότερον γὰρ
he-was-esteemed and also in-the about wills law before for
οὐκ ἐξῆν, ἀλλ' ἐν τῷ γένει τοῦ τεθνηκότος ἔδει τὰ
not it-was-permitted but in the family of-the dead it-was-necessary the
χρήματα καὶ τὸν οἶκον καταμένειν, ὁ δ' ᾧ βούλεταί τις
money and the house to-remain he but to-whom wishes anyone
ἐπιτρέψας, εἰ μὴ παῖδες εἶεν αὐτῷ, δοῦναι τὰ αὑτοῦ,
having-permitted if not children there-be to-him to-give the his-own(-goods)
φιλίαν τε συγγενείας ἐτίμησε μᾶλλον καὶ χάριν ἀνάγκης,
friendship both than-kinship honored more and favor than-necessity
καὶ τὰ χρήματα κτήματα τῶν ἐχόντων ἐποίησεν. οὐ
and the money possessions of-the(-men) having made not
μὴν ἀνέδην γε πάλιν οὐδ' ἁπλῶς τὰς δόσεις ἐφῆκεν,
indeed without-restraint at-least again nor simply the gifts he-permitted
ἀλλ' εἰ μὴ νόσων ἕνεκεν ἢ φαρμάκων ἢ δεσμῶν ἢ
but if not of-diseases on-account-of or of-drugs or of-bonds or
ἀνάγκῃ κατασχεθεὶς ἢ γυναικὶ πιθόμενος, εὖ πάνυ καὶ
by-necessity having-been-constrained or by-a-woman persuaded well very and
προσηκόντως τὸ πεισθῆναι παρὰ τὸ βέλτιστον οὐδὲν
fittingly the to-be-persuaded contrary-to the best in-nothing
ἡγούμενος τοῦ βιασθῆναι διαφέρειν, ἀλλ' εἰς ταὐτὸ τὴν
thinking from-the to-be-forced to-differ but into the-same the
ἀπάτην τῇ ἀνάγκῃ καὶ τῷ πόνῳ τὴν ἡδονὴν θέμενος,
deceit with-the necessity and with-the pain the pleasure placing
ὡς οὐχ ἧττον ἐκστῆσαι λογισμὸν ἀνθρώπου δυναμένων.
as no less to-derange reasoning of-man able
Ἐπέστησε δὲ καὶ ταῖς ἐξόδοις τῶν γυναικῶν καὶ τοῖς
he-set-over and also the goings-out of-the women and the
πένθεσι καὶ ταῖς ἑορταῖς νόμον ἀπείργοντα τὸ ἄτακτον καὶ
mournings and the festivals a-law preventing the disorderly and
ἀκόλαστον· ἐξιέναι μὲν ἱματίων τριῶν μὴ πλέον ἔχουσαν
licentious to-go-out indeed of-cloaks three not more having

κελεύσας, μηδὲ βρωτὸν ἢ ποτὸν πλείονος ἢ ὀβολοῦ
ordering nor food or drink of-more than an-obol
φερομένην, μηδὲ κάνητα πηχυαίου μείζονα, μηδὲ νύκτωρ
carrying nor a-basket a-cubit's greater nor by-night
πορεύεσθαι πλὴν ἁμάξῃ κομιζομένην λύχνου προφαίνοντος.
to-travel except in-a-wagon conveyed a-lamp shining-before
Ἀμυχὰς δὲ κοπτομένων καὶ τὸ θρηνεῖν πεποιημένα καὶ τὸ
lacerations and of-mourners and the to-lament composed-dirges and the
κωκύειν ἄλλον ἐν ταφαῖς ἑτέρων ἀφεῖλεν. ἐναγίζειν δὲ
to-wail another(-man) at funerals of-others he-took-away to-sacrifice and
βοῦν οὐκ εἴασεν, οὐδὲ συντιθέναι πλέον ἱματίων τριῶν, οὐδ'
an-ox not he-allowed nor to-bury-with more cloaks three nor
ἐπ' ἀλλότρια μνήματα βαδίζειν χωρὶς ἐκκομιδῆς. ὧν τὰ
to others' tombs to-go apart-from burial of-which the
πλεῖστα καὶ τοῖς ἡμετέροις νόμοις ἀπηγόρευται· πρόσκειται
most also by-the our laws are-forbidden is-added
δὲ τοῖς ἡμετέροις ζημιοῦσθαι τοὺς τὰ τοιαῦτα ποιοῦντας
and in-the our(-laws) to-be-punished those the such(-things) doing
ὑπὸ τῶν γυναικονόμων, ὡς ἀνάνδροις καὶ γυναικώδεσι
by the women-wardens as by-unmanly and womanish
τοῖς περὶ τὰ πένθη πάθεσι καὶ ἁμαρτήμασιν ἐνεχομένους.
the about the mournings passions and errors being-held
Ὁρῶν δὲ τὸ μὲν ἄστυ πιμπλάμενον ἀνθρώπων ἀεὶ 22
seeing and the indeed town being-filled with-men always
συρρεόντων πανταχόθεν ἐπ' ἀδείας εἰς τὴν Ἀττικήν, τὰ δὲ
flowing-together from-everywhere for security into — Attica the and
πλεῖστα τῆς χώρας ἀγεννῆ καὶ φαῦλα, τοὺς δὲ χρωμένους
most of-the country poor and sorry those and using
τῇ θαλάττῃ μηδὲν εἰωθότας εἰσάγειν τοῖς μηδὲν ἔχουσιν
the sea nothing accustomed to-import for-those nothing having
ἀντιδοῦναι, πρὸς τὰς τέχνας ἔτρεψε τοὺς πολίτας, καὶ
to-give-in-exchange to the crafts he-turned the citizens and

νόμον ἔγραψεν υἱῷ τρέφειν τὸν πατέρα μὴ διδαξάμενον
a-law wrote for-a-son to-support the father not having-taught(-him)
τέχνην ἐπάναγκες μὴ εἶναι. τῷ μὲν γὰρ Λυκούργῳ καὶ πόλιν
a-craft compulsory not to-be — indeed for for-Lycurgus also a-city
οἰκοῦντι καθαρὰν ὄχλου ξενικοῦ καὶ χώραν κεκτημένῳ
inhabiting pure of-a-crowd foreign and land having-acquired

Πολλοῖσι πολλήν, δὶς τοσοῖς δὲ πλείονα,
For-many much twice for-so-many and more

κατ' Εὐριπίδην, καὶ τὸ μέγιστον, εἱλωτικοῦ πλήθους,
according-to Euripides and the greatest of-a-helot multitude
ὃ βέλτιον ἦν μὴ σχολάζειν, ἀλλὰ τριβόμενον ἀεὶ καὶ
which better it-was not to-be-at-leisure but being-worn-down always and
πονοῦν ταπεινοῦσθαι, περικεχυμένου τῇ Λακεδαίμονι, καλῶς
laboring to-be-humbled poured-around — to-Lacedaemon well
εἶχεν ἀσχολιῶν ἐπιπόνων καὶ βαναύσων ἀπαλλάξαντα
it-was from-occupations toilsome and mechanical having-freed
τοὺς πολίτας συνέχειν ἐν τοῖς ὅπλοις, μίαν τέχνην
the citizens to-keep(-them) in the arms one art
ταύτην ἐκμανθάνοντας καὶ ἀσκοῦντας· Σόλων δὲ τοῖς
this learning and practicing Solon but to-the
πράγμασι τοὺς νόμους μᾶλλον ἢ τὰ πράγματα τοῖς
facts the laws rather than the facts to-the
νόμοις προσαρμόζων, καὶ τῆς χώρας τὴν φύσιν ὁρῶν τοῖς
laws fitting and of-the country the nature seeing for-those
γεωργοῦσι γλίσχρως διαρκοῦσαν, ἀργὸν δὲ καὶ σχολαστὴν
farming meagerly sufficing idle but and leisured
ὄχλον οὐ δυναμένην τρέφειν, ταῖς τέχναις ἀξίωμα περιέθηκε,
a-crowd not able to-support to-the crafts dignity he-attached

καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἔταξεν ἐπισκοπεῖν ὅθεν
and the from Ares' hill council he-ordered to-inquire whence
ἕκαστος ἔχει τὰ ἐπιτήδεια, καὶ τοὺς ἀργοὺς κολάζειν.
each has the necessaries and the idle to-punish
Ἐκεῖνο δ' ἤδη σφοδρότερον, τὸ μηδὲ τοῖς ἐξ ἑταίρας
that and already more-severe the not-even for-those from a-courtesan
γενομένοις ἐπάναγκες εἶναι τοὺς πατέρας τρέφειν, ὡς
born compulsory to-be the fathers to-support as
Ἡρακλείδης ἱστόρηκεν ὁ Ποντικός. ὁ γὰρ ἐν γάμῳ
Heracleides has-recorded the Pontic he for in marriage
παρορῶν τὸ καλὸν οὐ τέκνων ἕνεκα δῆλός ἐστιν,
disregarding the noble not of-children for-the-sake-of evident is
ἀλλ' ἡδονῆς ἀγόμενος γυναῖκα, τόν τε μισθὸν ἀπέχει,
but of-pleasure taking a-woman the both pay he-has-received
καὶ παρρησίαν αὑτῷ πρὸς τοὺς γενομένους οὐκ
and free-speech for-himself toward the(-ones) born not
ἀπολέλοιπεν, οἷς αὐτὸ τὸ γενέσθαι πεποίηκεν ὄνειδος.
he-has-left for-whom the-very the to-be-born he-has-made a-reproach
Ὅλως δὲ πλείστην ἔχειν ἀτοπίαν οἱ περὶ τῶν γυναικῶν 23
altogether and most to-have absurdity the(-laws) about the women
νόμοι τῷ Σόλωνι δοκοῦσι. μοιχὸν μὲν γὰρ ἀνελεῖν
laws — to-Solon seem an-adulterer indeed for to-kill
τῷ λαβόντι δέδωκεν· ἐὰν δ' ἁρπάσῃ τις
to-the(-man) having-caught(-him) he-has-granted if but should-carry-off anyone
ἐλευθέραν γυναῖκα καὶ βιάσηται, ζημίαν ἑκατὸν δραχμὰς
a-free woman and should-force(-her) penalty a-hundred drachmas
ἔταξε· κἂν προαγωγεύῃ, δραχμὰς εἴκοσι, πλὴν ὅσαι
he-fixed and-if he-procure drachmas twenty except as-many-as
πεφασμένως πωλοῦνται, λέγων δὴ τὰς ἑταίρας. αὗται
openly sell(-themselves) meaning indeed the courtesans these
γὰρ ἐμφανῶς φοιτῶσι πρὸς τοὺς διδόντας. ἔτι δ' οὔτε
for openly go to those paying still and neither

θυγατέρας πωλεῖν οὔτ' ἀδελφὰς δίδωσι, πλὴν ἂν μὴ λάβῃ
daughters to-sell nor sisters he-grants except if not he-take
παρθένον ἀνδρὶ συγγεγενημένην. τὸ δ' αὐτὸ πρᾶγμα
a-maiden with-a-man having-had-intercourse the and same act
ποτὲ μὲν πικρῶς καὶ ἀπαραιτήτως κολάζειν, ποτὲ δ'
at-one-time indeed bitterly and inexorably to-punish at-another and
εὐκόλως καὶ παίζοντα, πρόστιμον ζημίαν τὴν τυχοῦσαν
good-humoredly and jestingly a-fine penalty the chance(-one)
ὁρίζοντα, ἄλογόν ἐστι· πλὴν εἰ μὴ σπανίζοντος τότε τοῦ
fixing irrational is except if not being-scarce then the
νομίσματος ἐν τῇ πόλει μεγάλας ἐποίει τὰς ἀργυρικὰς
money in the city great made the silver
ζημίας τὸ δυσπόριστον. εἰς μέν γε τὰ τιμήματα τῶν
penalties the hard-to-come-by for indeed at-least the valuations of-the
θυσιῶν λογίζεται πρόβατον καὶ δραχμὴν ἀντὶ μεδίμνου·
sacrifices he-reckons a-sheep and a-drachma for a-medimnus
τῷ δ' Ἴσθμια νικήσαντι δραχμὰς ἔταξεν
to-the(-man) and the-Isthmian-games having-won drachmas he-ordained
ἑκατὸν δίδοσθαι, τῷ δ' Ὀλύμπια πεντακοσίας·
a-hundred to-be-given to-the(-man) and the-Olympic-games five-hundred
λύκον δὲ τῷ κομίσαντι πέντε δραχμὰς ἔδωκε,
a-wolf and to-the(-man) having-brought five drachmas he-gave
λυκιδέα δὲ μίαν, ὧν φησιν ὁ Φαληρεὺς Δημήτριος
a-wolf's-cub and one of-which says the Phalerean Demetrius
τὸ μὲν βοὸς εἶναι, τὸ δὲ προβάτου τιμήν. ἃς
the(-one) indeed of-an-ox to-be the(-other) and of-a-sheep the-price which
γὰρ ἐν τῷ ἑκκαιδεκάτῳ τῶν ἀξόνων ὁρίζει τιμὰς τῶν
for in the sixteenth of-the axones he-fixes prices of-the
ἐκκρίτων ἱερείων, εἰκὸς μὲν εἶναι πολλαπλασίας, ἄλλως
choice victims likely indeed to-be many-times-greater otherwise
δὲ κἀκεῖναι πρὸς τὰς νῦν εὐτελεῖς εἰσιν. ἀρχαῖον δὲ
but even-those compared-with the now cheap are ancient and

τοῖς Ἀθηναίοις τὸ πολεμεῖν τοῖς λύκοις, βελτίονα νέμειν
for-the Athenians the to-war with-the wolves better to-pasture
ἢ γεωργεῖν χώραν ἔχουσι. καὶ τὰς φυλὰς εἰσὶν οἱ
than to-farm land having and the tribes there-are those
λέγοντες οὐκ ἀπὸ τῶν Ἴωνος υἱῶν, ἀλλ' ἀπὸ τῶν γενῶν,
saying not from the of-Ion sons but from the classes
εἰς ἃ διῃρέθησαν οἱ βίοι τὸ πρῶτον, ὠνομάσθαι, τὸ
into which were-divided the ways-of-life the first to-have-been-named the
μὲν μάχιμον Ὁπλίτας, τὸ δ' ἐργατικὸν Ἐργάδεις· δυεῖν
indeed fighting Hoplites the and working Ergadeis of-two
δὲ τῶν λοιπῶν Γελέοντας μὲν τοὺς γεωργούς, Αἰγικορεῖς
and of-the remaining Geleontes indeed the farmers Aegicoreis
δὲ τοὺς ἐπὶ νομαῖς καὶ προβατείαις διατρίβοντας.
and those in pasturing and sheep-tending spending-their-time
Ἐπεὶ δὲ πρὸς ὕδωρ οὔτε ποταμοῖς ἐστιν ἀενάοις οὔτε
since and for water neither with-rivers is perennial nor
λίμναις τισὶν οὔτ' ἀφθόνοις πηγαῖς ἡ χώρα διαρκής, ἀλλ'
lakes any nor abundant springs the country sufficient but
οἱ πλεῖστοι φρέασι ποιητοῖς ἐχρῶντο, νόμον ἔγραψεν, ὅπου
the most wells dug used a-law he-wrote where
μέν ἐστι δημόσιον φρέαρ ἐντὸς ἱππικοῦ, χρῆσθαι τούτῳ·
indeed there-is a-public well within a-hippicon to-use this
τὸ δ' ἱππικὸν διάστημα τεσσάρων ἦν σταδίων· ὅπου δὲ
the and hippicon a-distance of-four was stades where and
πλεῖον ἀπέχει, ζητεῖν ὕδωρ ἴδιον· ἐὰν δὲ ὀρύξαντες ὀργυιῶν
farther it-is-distant to-seek water own if and having-dug of-fathoms
δέκα βάθος παρ' ἑαυτοῖς μὴ εὕρωσι, τότε λαμβάνειν
ten in-depth on their-own(-land) not they-find then to-take
παρὰ τοῦ γείτονος ἑξάχους ὑδρίαν δὶς ἑκάστης ἡμέρας
from the neighbor a-six-chous pitcher twice each day
πληροῦντας· ἀπορίᾳ γὰρ ᾤετο δεῖν βοηθεῖν, οὐκ ἀργίαν
filling for-want for he-thought it-needful to-help not idleness

ἐφοδιάζειν. ὥρισε δὲ καὶ φυτειῶν μέτρα μάλ' ἐμπείρως,
to-subsidize he-defined and also of-plantings measures very skillfully
τοὺς μὲν ἄλλο τι φυτεύοντας ἐν ἀγρῷ πέντε πόδας
the(-men) indeed other anything planting in a-field five feet
ἀπέχειν τοῦ γείτονος κελεύσας, τοὺς δὲ συκῆν ἢ ἐλαίαν
to-be-distant from-the neighbor having-ordered the(-men) and a-fig-tree or olive
ἐννέα. πορρωτέρω γὰρ ἐξικνεῖται ταῦτα ταῖς ῥίζαις, καὶ
nine farther for reach these(-trees) with-the roots and
οὐ πᾶσι γειτνιᾷ τοῖς φυτοῖς ἀσινῶς, ἀλλὰ καὶ τροφὴν
not to-all are-neighbors the plants harmlessly but also nourishment
παραιρεῖται καὶ βλάπτουσαν ἐνίοις ἀπορροὴν ἀφίησι.
they-take-away and harmful to-some an-effluence they-give-off
βόθρους δὲ καὶ τάφρους τὸν βουλόμενον ἐκέλευσεν
pits and and ditches the(-man) wishing he-ordered
ὀρύσσειν, ὅσον ἐμβάλλει βάθος, ἀφιστάμενον μῆκος
to-dig as-much-as he-digs depth standing-away the-distance
τἀλλοτρίου· καὶ μελισσῶν σμήνη καθιστάμενον ἀπέχειν
from-his-neighbor's and of-bees swarms setting-up to-be-distant
τῶν ὑφ' ἑτέρου πρότερον ἱδρυμένων πόδας τριακοσίους.
from-those by another before having-been-set-up feet three-hundred

24 Τῶν δὲ γινομένων διάθεσιν πρὸς ξένους ἐλαίου μόνον
of-the and produce sale to foreigners of-oil only
ἔδωκεν, ἄλλα δ' ἐξάγειν ἐκώλυσε· καὶ κατὰ τῶν
he-granted other-things and to-export he-forbade and against the(-men)
ἐξαγόντων ἀρὰς τὸν ἄρχοντα ποιεῖσθαι προσέταξεν, ἢ
exporting curses the archon to-make he-commanded or
ἐκτίνειν αὐτὸν ἑκατὸν δραχμὰς εἰς τὸ δημόσιον. καὶ
to-pay himself a-hundred drachmas into the public(-treasury) and
πρῶτος ἄξων ἐστὶν ὁ τοῦτον περιέχων τὸν νόμον.
first axon is the(-one) this containing the law
οὐκ ἂν οὖν τις ἡγήσαιτο παντελῶς ἀπιθάνους τοὺς
not — then anyone would-think altogether unconvincing those

λέγοντας ὅτι καὶ σύκων ἐξαγωγὴ τὸ παλαιὸν ἀπείρητο,
saying that also of-figs export the of-old was-forbidden
καὶ τὸ φαίνειν ἐνδεικνύμενον τοὺς ἐξάγοντας κληθῆναι
and the to-show-up informing-against the(-men) exporting to-have-been-called
συκοφαντεῖν. ἔγραψε δὲ καὶ βλάβης τετραπόδων νόμον, ἐν
to-sycophant he-wrote and also of-damage by-quadrupeds a-law in
ᾧ καὶ κύνα δακόντα παραδοῦναι κελεύει κλοιῷ τριπήχει
which also a-dog having-bitten to-hand-over he-orders with-a-collar three-cubit
δεδεμένον· τὸ μὲν ἐνθύμημα χάριεν πρὸς ἀσφάλειαν.
bound the indeed device graceful toward safety
Παρέχει δ' ἀπορίαν καὶ ὁ τῶν δημοποιήτων νόμος,
presents and a-difficulty also the of-the naturalized law
ὅτι γενέσθαι πολίταις οὐ δίδωσι πλὴν τοῖς φεύγουσιν
that to-become citizens not he-grants except to-those fleeing
ἀειφυγίᾳ τὴν ἑαυτῶν ἢ πανεστίοις Ἀθήναζε
in-perpetual-exile the their-own(-land) or with-whole-households to-Athens
μετοικιζομένοις ἐπὶ τέχνῃ. τοῦτο δὲ ποιῆσαί φασιν αὐτὸν
migrating for a-craft this and to-have-done they-say him
οὐχ οὕτως ἀπελαύνοντα τοὺς ἄλλους ὡς κατακαλούμενον
not so driving-away the others as inviting
Ἀθήναζε τούτους ἐπὶ βεβαίῳ τῷ μεθέξειν τῆς πολιτείας,
to-Athens these on sure the to-share of-the citizenship
καὶ ἅμα πιστοὺς νομίζοντα τοὺς μὲν ἀποβεβληκότας τὴν
and at-once trustworthy thinking the(-ones) indeed having-cast-off the
ἑαυτῶν διὰ τὴν ἀνάγκην, τοὺς δ' ἀπολελοιπότας
their-own(-land) because-of the necessity the(-others) and having-left(-it)
διὰ τὴν γνώμην. ἴδιον δὲ τοῦ Σόλωνος καὶ τὸ περὶ
because-of the judgment peculiar and — of-Solon also the about
τῆς ἐν δημοσίῳ σιτήσεως, ὅπερ αὐτὸς παρασιτεῖν κέκληκε.
the in public-hall eating which himself to-parasite has-called
τὸν γὰρ αὐτὸν οὐκ ἐᾷ σιτεῖσθαι πολλάκις, ἐὰν δὲ
the for same(-man) not he-allows to-eat often if and

ᾧ καθήκει μὴ βούληται, κολάζει, τὸ μὲν ἡγούμενος
to-whom it-falls not he-wish he-punishes the(-one) indeed thinking
πλεονεξίαν, τὸ δ' ὑπεροψίαν τῶν κοινῶν.
greed the(-other) and contempt of-the common(-things)

VII · TRAVELS AND CROESUS

Solon's laws are given force for a hundred years and written on revolving axones. He corrects the calendar. Pestered with questions, he leaves Athens for ten years. In Egypt he hears the tale of Atlantis; in Cyprus he helps Philocyprus refound his city, called Soli in his honor. Plutarch tells the meeting with Croesus: Solon names Tellus, and Cleobis and Biton, happier than the king and bids him look to the end. On his pyre Croesus cries Solon's name, and Cyrus spares him.

25 Ἰσχὺν δὲ τοῖς νόμοις πᾶσιν εἰς ἑκατὸν ἐνιαυτοὺς ἔδωκε· καὶ
force and to-the laws all for a-hundred years he-gave and
κατεγράφησαν εἰς ξυλίνους ἄξονας ἐν πλαισίοις περιέχουσι
they-were-written on wooden axones in frames enclosing
στρεφομένους, ὧν ἔτι καθ' ἡμᾶς ἐν Πρυτανείῳ λείψανα
turning of-which still in our(-time) in the-Prytaneum remains
μικρὰ διεσώζετο· καὶ προσηγορεύθησαν, ὡς Ἀριστοτέλης
small were-preserved and they-were-called as Aristotle
φησί, κύρβεις. καὶ Κρατῖνος ὁ κωμικὸς εἴρηκέ που·
says kyrbeis and Cratinus the comic(-poet) has-said somewhere

Πρὸς τοῦ Σόλωνος καὶ Δράκοντος οἷσι νῦν
By — Solon and Draco with-whose now
φρύγουσιν ἤδη τὰς κάχρυς τοῖς κύρβεσιν.
they-parch already the barley-grains the kyrbeis

ἔνιοι δέ φασιν ἰδίως ἐν οἷς ἱερὰ καὶ θυσίαι περιέχονται,
some and say specifically in which rites and sacrifices are-contained
κύρβεις, ἄξονας δὲ τοὺς ἄλλους ὠνομάσθαι. κοινὸν μὲν οὖν
kyrbeis axones and the others to-have-been-named common indeed then
ὤμνυεν ὅρκον ἡ βουλὴ τοὺς Σόλωνος νόμους ἐμπεδώσειν,
swore oath the council the of-Solon laws to-uphold
ἴδιον δ' ἕκαστος τῶν θεσμοθετῶν ἐν ἀγορᾷ πρὸς τῷ
separate and each of-the thesmothetae in the-market-place by the
λίθῳ, καταφατίζων, εἴ τι παραβαίη τῶν θεσμῶν,
stone affirming if anything he-should-transgress of-the ordinances
ἀνδριάντα χρυσοῦν ἰσομέτρητον ἀναθήσειν ἐν Δελφοῖς.
a-statue golden of-equal-measure to-dedicate at Delphi
Συνιδὼν δὲ τοῦ μηνὸς τὴν ἀνωμαλίαν, καὶ τὴν κίνησιν
having-perceived and of-the month the irregularity and the motion
τῆς σελήνης οὔτε δυομένῳ τῷ ἡλίῳ πάντως οὔτ' ἀνίσχοντι
διὰ σιμότητα τῆς ῥινὸς ἐνδεδυκυίας ὥστε μηδὲν εἶναι
because-of flatness of-the nose sunken so-that nothing to-be
τὸ διορίζον τὰ ὄμματα καὶ τὰς ὀφρῦς συγκεχύσθαι,
the(-thing) separating the eyes and the brows to-run-together
Κύκλωπα βουλόμενοι καλεῖν αὐτὸν οἱ πολλοὶ τῆς γλώττης
Cyclops wishing to-call him the many of-the tongue
ὀλισθαινούσης ἐκράτησεν ὑπὸ πλήθους Κόκλιον καλεῖσθαι.
slipping it-prevailed by multitude Cocles to-be-called
οὗτος ἑστὼς πρὸ τῆς γεφύρας ἠμύνετο τοὺς πολεμίους,
this(-man) standing before the bridge held-off the enemies
ἄχρι οὗ διέκοψαν οἱ σὺν αὐτῷ κατόπιν τὴν γέφυραν.
until which cut-down those with him behind the bridge
οὕτω δὲ μετὰ τῶν ὅπλων ἀφεὶς ἑαυτὸν εἰς τὸν
so and with the arms having-thrown himself into the
ποταμὸν ἀπενήξατο, καὶ προσέμιξε τῇ πέραν ὄχθῃ δόρατι
river he-swam-away and reached the other-side bank by-a-spear

Τυρρηνικῷ βεβλημένος τὸν γλουτόν. ὁ δὲ Ποπλικόλας
Tyrrhenian having-been-struck the buttock — but Publicola
τὴν ἀρετὴν θαυμάσας αὐτίκα μὲν εἰσηγήσατο Ῥωμαίους
the valor having-admired at-once indeed proposed Romans
ἅπαντας, ὅσην ἕκαστος ἐν ἡμέρᾳ τροφὴν ἀνήλισκε, δοῦναι
all as-much-as each in a-day food spent to-give
συνεισενεγκόντας, ἔπειτα τῆς χώρας ἣν αὐτὸς περιαρόσειεν
contributing then of-the land which he-himself should-plow-around
ἐν ἡμέρᾳ. πρὸς δὲ τούτοις εἰκόνα χαλκῆν ἔστησαν
in a-day besides and these(-things) a-statue bronze they-set-up
αὐτῷ ἐν τῷ ἱερῷ τοῦ Ἡφαίστου, τὴν γενομένην ἐκ τοῦ
to-him in the temple — of-Hephaestus the having-resulted from the
τραύματος τῷ ἀνδρὶ χωλότητα μετὰ τιμῆς παρηγοροῦντες.
wound for-the man lameness with honor consoling

V · MUCIUS, CLOELIA, AND PORSENA

Mucius, sent to kill Porsena, kills the wrong man, holds his right hand in the fire, and tells of three hundred more sworn to the deed. When Tarquin refuses Porsena as judge, Porsena makes peace, and the Romans give hostages. The maidens escape across the Tiber, some say led by Cloelia on horseback; Publicola sends them back, and Arruns saves them from Tarquin's ambush; Porsena honors Cloelia and leaves his camp full of supplies to the Romans. Marcus Valerius defeats the Sabines and is given a house whose door opens outward.

17 Ἐπικειμένου δὲ Πορσίνα τῇ πόλει καὶ λιμὸς ἥπτετο
pressing and Porsena on-the city also famine laid-hold-of
τῶν Ῥωμαίων, καὶ Τυρρηνῶν ἕτερος στρατὸς αὐτὸς καθ'
the Romans and of-Tyrrhenians another army itself by
αὑτὸν εἰς τὴν χώραν ἐνέβαλε. Ποπλικόλας δὲ τὸ τρίτον
itself into the territory invaded Publicola and the third(-time)

ὑπατεύων Πορσίνᾳ μὲν ἀτρεμῶν καὶ φυλάττων τὴν πόλιν
being-consul to-Porsena indeed keeping-quiet and guarding the city
ᾤετο δεῖν ἀντέχειν, τοῖς δὲ Τυρρηνοῖς ἐπεξῆλθε καὶ
thought it-needful to-hold-out against-the but Tyrrhenians he-marched-out and
συμβαλὼν ἐτρέψατο καὶ πεντακισχιλίους αὐτῶν ἀνεῖλε.
having-engaged routed(-them) and five-thousand of-them killed
Τὸ δὲ περὶ Μούκιον εἴρηται μὲν ὑπὸ πολλῶν
the(-story) and about Mucius has-been-told indeed by many
καὶ διαφόρως, λεκτέον δὲ ᾗ μάλιστα πιστεύεται καὶ
and variously it-must-be-told but where most it-is-believed also
ἡμῖν. ἦν ἀνὴρ εἰς πᾶσαν ἀρετὴν ἀγαθός, ἐν δὲ τοῖς
by-us he-was a-man for every virtue good in and the
πολεμικοῖς ἄριστος· ἐπιβουλεύων δὲ τὸν Πορσίναν ἀνελεῖν
warlike(-things) best plotting and — Porsena to-kill
παρεισῆλθεν εἰς τὸ στρατόπεδον Τυρρηνίδα φορῶν ἐσθῆτα
he-slipped into the camp Tyrrhenian wearing dress
καὶ φωνῇ χρώμενος ὁμοίᾳ. περιελθὼν δὲ τὸ βῆμα
and speech using similar having-gone-around and the platform
τοῦ βασιλέως καθεζομένου, καὶ σαφῶς μὲν αὐτὸν οὐκ
of-the king sitting and clearly indeed him not
εἰδώς, ἐρέσθαι δὲ περὶ αὐτοῦ δεδιώς, ὃν ᾠήθη μάλιστα
knowing to-ask and about him fearing whom he-thought most
τῶν συγκαθεζομένων ἐκεῖνον εἶναι σπασάμενος τὸ ξίφος
of-those sitting-with(-him) that(-man) to-be having-drawn the sword
ἀπέκτεινεν. ἐπὶ τούτῳ δὲ συλληφθεὶς ἀνεκρίνετο· καί
he-killed for this and having-been-seized he-was-examined and
τινος ἐσχαρίδος πῦρ ἐχούσης μέλλοντι τῷ Πορσίνᾳ θύειν
a-certain brazier fire holding being-about — for-Porsena to-sacrifice
κεκομισμένης, ὑπερσχὼν τὴν δεξιὰν χεῖρα καιομένης τῆς
brought having-held-over the right hand burning the
σαρκὸς εἱστήκει πρὸς τὸν Πορσίναν ἀποβλέπων ἰταμῷ καὶ
flesh he-stood at — Porsena looking with-bold and

ἀτρέπτῳ τῷ προσώπῳ, μέχρι οὗ θαυμάσας ἀφῆκεν αὐτὸν
unflinching the face until which having-wondered he-released him
καὶ τὸ ξίφος ἀποδιδοὺς ὤρεξεν ἀπὸ τοῦ βήματος· ὁ δὲ
and the sword giving-back reached(-it) from the platform he and
τὴν εὐώνυμον προτείνας ἐδέξατο. καὶ διὰ τοῦτό φασιν
the left having-held-out received(-it) and because-of this they-say
αὐτῷ γενέσθαι τὸν Σκαιόλαν ἐπίκλησιν, ὅπερ ἐστὶ Λαιόν.
to-him to-have-come the Scaevola surname which is Left-handed
ἔφη δὲ τὸν φόβον τοῦ Πορσίνα νενικηκὼς ἡττᾶσθαι
he-said and the fear — of-Porsena having-conquered to-be-overcome
τῆς ἀρετῆς, καὶ χάριτι μηνύειν ἃ πρὸς ἀνάγκην οὐκ
by-the virtue and by-gratitude to-reveal what to compulsion not
ἂν ἐξηγόρευσε. "Τριακόσιοι γὰρ Ῥωμαίων," ἔφη, "τὴν
— he-would-have-declared three-hundred for of-Romans he-said the
αὐτὴν ἐμοὶ γνώμην ἔχοντες ἐν τῷ στρατοπέδῳ σου
same with-me purpose having in the camp your
πλανῶνται καιρὸν ἐπιτηροῦντες· ἐγὼ δὲ κλήρῳ λαχὼν
are-roaming an-opportunity watching-for I and by-lot having-obtained
καὶ προεπιχειρήσας οὐκ ἄχθομαι τῇ τύχῃ, διαμαρτὼν
and having-attempted-first not I-am-vexed with-the fortune having-missed
ἀνδρὸς ἀγαθοῦ καὶ φίλου μᾶλλον ἢ πολεμίου Ῥωμαίοις
a-man good and a-friend rather than an-enemy to-Romans
εἶναι πρέποντος." ταῦθ' ὁ Πορσίνας ἀκούσας ἐπίστευσε
to-be fitting these(-words) — Porsena having-heard believed
καὶ πρὸς τὰς διαλύσεις ἥδιον ἔσχεν, οὐ τοσοῦτό,
and to the terms more-gladly was-disposed not so-much
μοι δοκεῖ, φόβῳ τῶν τριακοσίων, ὅσον ἀγασθεὶς καὶ
to-me it-seems by-fear of-the three-hundred as-much-as having-admired and
θαυμάσας τὸ φρόνημα καὶ τὴν ἀρετὴν τῶν Ῥωμαίων.
having-marveled-at the spirit and the valor of-the Romans

Τοῦτον τὸν ἄνδρα Μούκιον ὁμοῦ τι πάντων καὶ
this the man Mucius nearly (as-it-were) all and
Σκαιόλαν καλούντων Ἀθηνόδωρος ὁ Σάνδωνος ἐν τῷ
Scaevola calling Athenodorus the son-of-Sandon in the(-book)
πρὸς Ὀκταουΐαν τὴν Καίσαρος ἀδελφὴν καὶ Ὀψίγονον
to Octavia the of-Caesar sister also Opsigonus
ὠνομάσθαι φησίν.
to-have-been-named says

Ὁ μέντοι Ποπλικόλας αὐτός, οὐχ οὕτω πολέμιον ὄντα 18
— however Publicola himself not so an-enemy being
τὸν Πορσίναν βαρὺν ἡγούμενος ὡς ἄξιον πολλοῦ τῇ
— Porsena grievous thinking as worthy much for-the
πόλει φίλον γενέσθαι καὶ σύμμαχον, οὐκ ἔφευγεν ἐπ᾽
city a-friend to-become and ally not he-shrank before
αὐτοῦ δίκῃ κριθῆναι πρὸς Ταρκύνιον, ἀλλ᾽ ἐθάρρει καὶ
him in-a-trial to-be-tried against Tarquinius but was-confident and
προὐκαλεῖτο πολλάκις ὡς ἐξελέγξων κάκιστον ἀνδρῶν καὶ
challenged(-him) often as going-to-prove worst of-men and
δικαίως ἀφαιρεθέντα τὴν ἀρχήν. ἀποκριναμένου δὲ τοῦ
justly deprived-of the rule having-answered and —
Ταρκυνίου τραχύτερον, οὐδένα ποιεῖσθαι δικαστήν, ἥκιστα
Tarquinius more-harshly no-one to-make judge least
δὲ Πορσίναν, εἰ σύμμαχος ὢν μεταβάλλεται, δυσχεράνας
and Porsena if an-ally being he-changes-sides having-been-displeased
καὶ καταγνοὺς ὁ Πορσίνας, ἅμα δὲ τοῦ παιδὸς
and having-condemned(-him) — Porsena at-once and the son
Ἄρροντος δεομένου καὶ σπουδάζοντος ὑπὲρ τῶν Ῥωμαίων,
Arruns entreating and being-zealous on-behalf-of the Romans
κατελύσατο τὸν πόλεμον ἐξισταμένοις ἧς ἀπετέμοντο
ended the war them-withdrawing-from which they-had-cut-off
τῆς Τυρρηνίδος χώρας καὶ τοὺς αἰχμαλώτους ἀποπέμπουσι,
of-the Tyrrhenian land and the prisoners sending-back

κομιζομένοις δὲ τοὺς αὐτομόλους. ἐπὶ τούτοις ὁμήρους
recovering and the deserters on these(-terms) hostages
ἔδωκαν ἐξ εὐπατριδῶν περιπορφύρους δέκα καὶ παρθένους
they-gave from patricians purple-bordered(-boys) ten and maidens
τοσαύτας, ὧν ἦν καὶ Ποπλικόλα θυγάτηρ Οὐαλλερία.
as-many of-whom was also of-Publicola daughter Valeria
19 Πραττομένων δὲ τούτων τοῦ τε Πορσίνα πᾶσαν ἤδη
being-done and these(-things) — both Porsena all already
τὴν πολεμικὴν ἀνεικότος παρασκευὴν διὰ πίστιν, αἱ
the warlike having-relaxed preparation because-of trust the
παρθένοι τῶν Ῥωμαίων κατῆλθον ἐπὶ λουτρὸν ἔνθα δὴ
maidens of-the Romans went-down for bathing where indeed
μηνοειδής τις ὄχθη περιβάλλουσα τὸν ποταμὸν ἡσυχίαν
crescent-shaped a-certain bank encircling the river quiet
μάλιστα καὶ γαλήνην τοῦ κύματος παρεῖχεν. ὡς δ' οὔτε
most and calm of-the wave afforded when and neither
τινὰ φυλακὴν ἑώρων οὔτε παριόντας ἄλλως ἢ διαπλέοντας,
any guard they-saw nor passers-by otherwise or sailing-across
ὁρμὴν ἔσχον ἀπονήξασθαι πρὸς ῥεῦμα πολὺ καὶ δίνας
an-impulse they-had to-swim-away against current strong and eddies
βαθείας. ἔνιοι δέ φασι μίαν αὐτῶν, ὄνομα Κλοιλίαν,
deep some and say one of-them by-name Cloelia
ἵππῳ διεξελάσαι τὸν πόρον, ἐγκελευομένην ταῖς ἄλλαις
on-horse to-have-ridden-across the crossing urging the others
νεούσαις καὶ παραθαρρύνουσαν. ἐπεὶ δὲ σωθεῖσαι πρὸς
swimming and encouraging(-them) when and having-been-saved to
τὸν Ποπλικόλαν ἦκον, οὐκ ἐθαύμασεν οὐδ' ἠγάπησεν, ἀλλ'
— Publicola they-came not he-admired nor was-pleased but
ἠνιάθη, ὅτι Πορσίνα κακίων ἐν πίστει φανεῖται, καὶ τὸ
was-grieved because than-Porsena worse in good-faith he-will-appear and the
τόλμημα τῶν παρθένων αἰτίαν ἕξει κακούργημα Ῥωμαίων
daring of-the maidens accusation will-have a-misdeed of-Romans

γεγονέναι. διὸ συλλαβὼν αὐτὰς πάλιν ἀπέστειλε πρὸς
to-have-been wherefore having-seized them again he-sent(-them) to
τὸν Πορσίναν. ταῦτα δ' οἱ περὶ τὸν Ταρκύνιον
— Porsena these-things and those about — Tarquinius
προαισθόμενοι, καὶ καθίσαντες ἐνέδραν τοῖς ἄγουσι τὰς
having-learned-beforehand and having-set an-ambush on-those leading the
παῖδας, ἐν τῷ περᾶν ἐπέθεντο πλείονες ὄντες. ἐκείνων δὲ
girls in the to-cross attacked more being they and
ὅμως ἀμυνομένων, ἡ Ποπλικόλα θυγάτηρ Οὐαλλερία διὰ
nevertheless defending the of-Publicola daughter Valeria through
μέσων ὁρμήσασα τῶν μαχομένων ἀπέφυγε, καὶ τρεῖς τινες
middle having-rushed of-the combatants escaped and three some
οἰκέται συνδιεκπεσόντες ἔσωζον αὐτήν. τῶν δ' ἄλλων
servants having-broken-out-with(-her) saved her of-the and others
οὐκ ἀκινδύνως ἀναμεμιγμένων τοῖς μαχομένοις, αἰθόμενος
not without-danger mingled with-the combatants burning
Ἄρρων ὁ Πορσίνα υἱὸς ὀξέως προσεβοήθησε, καὶ φυγῆς
Arruns the of-Porsena son quickly came-to-help and flight
γενομένης τῶν πολεμίων περιεποίησε τοὺς Ῥωμαίους.
having-been of-the enemies he-rescued the Romans
Ὡς δὲ τὰς παρθένους κομισθείσας ὁ Πορσίνας εἶδε,
when and the maidens brought-back — Porsena saw
τὴν καταρξαμένην τῆς πράξεως καὶ παρακελευσαμένην
the(-one) having-begun the deed and having-exhorted
ταῖς ἄλλαις ἐζήτει. ἀκούσας δὲ τὸ ὄνομα τῆς Κλοιλίας
the others he-sought having-heard and the name — of-Cloelia
προσέβλεψεν αὐτὴν ἵλεῳ καὶ φαιδρῷ τῷ προσώπῳ,
he-looked-at her with-gracious and cheerful the face
καὶ κελεύσας ἵππον ἀχθῆναι τῶν βασιλικῶν κεκοσμημένον
and having-ordered a-horse to-be-brought of-the royal(-ones) adorned
εὐπρεπῶς ἐδωρήσατο. τοῦτο ποιοῦνται μαρτύριον οἱ μόνην
handsomely presented(-it) this make a-testimony those alone

τὴν Κλοιλίαν λέγοντες ἵππῳ διεξελάσαι τὸν ποταμόν.
— *Cloelia saying on-horse to-have-ridden-across the river*
οἱ δ' οὔ φασιν, ἀλλὰ τιμῆσαι τὸ ἀνδρῶδες αὐτῆς
the(-others) but not say but to-have-honored the manliness her
τὸν Τυρρηνόν. ἀνάκειται δὲ τὴν ἱερὰν ὁδὸν πορευομένοις
the Tyrrhenian is-set-up and the sacred way to-those-going
εἰς Παλάτιον ἀνδριὰς αὐτῆς ἔφιππος, ὅν τινες οὐ τῆς
to Palatine a-statue her equestrian which some not —
Κλοιλίας, ἀλλὰ τῆς Οὐαλλερίας εἶναι λέγουσιν.
of-Cloelia but — of-Valeria to-be say
Ὁ δὲ Πορσίνας διαλλαγεὶς τοῖς Ῥωμαίοις ἄλλην τε
— and Porsena having-been-reconciled with-the Romans other both
ἑαυτοῦ πολλὴν μεγαλοφροσύνην ἐπεδείξατο τῇ πόλει, καὶ
his much magnanimity showed to-the city and
τὰ ὅπλα τοὺς Τυρρηνοὺς ἀναλαβεῖν κελεύσας, ἄλλο δὲ
the arms the Tyrrhenians to-take-up having-ordered other but
μηδέν, ἀλλ' ἐκλείπειν τὸν χάρακα σίτου τε πολλοῦ καὶ
nothing but to-leave the camp with-grain both much and
χρημάτων γέμοντα παντοδαπῶν, παρέδωκε τοῖς Ῥωμαίοις.
with-money full of-all-kinds he-handed-over to-the Romans
διὸ καὶ καθ' ἡμᾶς ἔτι πωλοῦντες τὰ δημόσια πρῶτα
wherefore also in our(-time) still selling the public(-goods) first
κηρύττουσι τὰ Πορσίνα χρήματα, τιμὴν τῷ ἀνδρὶ τῆς
they-proclaim the of-Porsena goods honor for-the man of-the
χάριτος ἀΐδιον ἐν τῇ μνήμῃ διαφυλάττοντες. εἱστήκει
gratitude everlasting in the memory preserving stood
δὲ καὶ χαλκοῦς ἀνδριὰς αὐτοῦ παρὰ τὸ βουλευτήριον,
and also a-bronze statue his by the senate-house
ἁπλοῦς καὶ ἀρχαϊκὸς τῇ ἐργασίᾳ.
simple and archaic in-the workmanship

Μετὰ δὲ ταῦτα Σαβίνων ἐμβαλόντων εἰς τὴν χώραν 20
after and these-things Sabines having-invaded into the territory
ὕπατος μὲν ἀπεδείχθη Μάρκος Οὐαλλέριος, ἀδελφὸς
consul indeed was-appointed Marcus Valerius brother
Ποπλικόλα, καὶ Ποστούμιος Τούβερτος. Πραττομένων δὲ
of-Publicola and Postumius Tubertus being-done and
τῶν μεγίστων γνώμῃ καὶ παρουσίᾳ Ποπλικόλα δυσὶ
the greatest(-things) by-the-counsel and presence of-Publicola in-two
μάχαις μεγάλαις ὁ Μάρκος ἐνίκησεν, ὧν ἐν τῇ δευτέρᾳ
battles great — Marcus conquered of-which in the second
μηδένα Ῥωμαίων ἀποβαλὼν τρισχιλίους ἐπὶ μυρίοις τῶν
no-one of-Romans having-lost three-thousand over ten-thousand of-the
πολεμίων ἀνεῖλε. καὶ γέρας ἔσχεν ἐπὶ τοῖς θριάμβοις
enemies he-killed and as-a-prize had besides the triumphs
οἰκίαν αὐτῷ γενέσθαι δημοσίοις ἀναλώμασιν ἐν Παλατίῳ.
a-house for-him to-be-built at-public expense on the-Palatine
τῶν δ' ἄλλων τότε θυρῶν εἴσω τῆς οἰκίας εἰς τὸ κλεισίον
of-the and others then doors inward of-the house into the vestibule
ἀνοιγομένων, ἐκείνης μόνης τῆς οἰκίας ἐποίησαν ἐκτὸς
opening of-that only of-the house they-made outward
ἀπάγεσθαι τὴν αὔλειον, ὡς δὴ κατὰ τὸ συγχώρημα τῆς
to-be-drawn the outer-door as indeed by the concession of-the
τιμῆς ἀεὶ τοῦ δημοσίου προσεπιλαμβάνοι.
honor always of-the public(-space) he-might-take-in-in-addition
Τὰς δ' Ἑλληνικὰς πρότερον οὕτως ἔχειν ἁπάσας λέγουσιν,
the and Greek(-doors) before so to-be all they-say
ἀπὸ τῶν κωμῳδιῶν λαμβάνοντες, ὅτι κόπτουσι καὶ
from the comedies taking(-it) that they-knock and
ψοφοῦσι τὰς αὑτῶν θύρας ἔνδοθεν οἱ προϊέναι μέλλοντες,
rap the their-own doors from-within those to-go-out going
ὅπως αἴσθησις ἔξω γένοιτο τοῖς παρερχομένοις ἢ
so-that perception outside might-be for-those passing-by or

προεστῶσι καὶ μὴ καταλαμβάνοιντο προϊούσαις ταῖς
standing-before and not they-be-caught going-forth by-the
κλεισιάσιν εἰς τὸν στενωπόν.
doors into the street

VI · APPIUS CLAUSUS AND PUBLICOLA'S DEATH

In a fourth consulship Publicola faces portents and a Sabine and Latin war. He wins over Appius Clausus, whom the Sabines suspect, and Clausus migrates to Rome with five thousand households, founding the Claudian family. The Sabines set an ambush near Rome; Publicola's son-in-law Postumius and colleague Lucretius trap them in a fog while he takes their camp, and their army is destroyed. Publicola dies soon after his triumph; he is buried by the people at public expense, and the women mourn him a year.

21 Τῷ δ' ἑξῆς ἔτει πάλιν ὑπάτευε Ποπλικόλας τὸ τέταρτον·
in-the and following year again was-consul Publicola the fourth(-time)
ἦν δὲ προσδοκία πολέμου Σαβίνων καὶ Λατίνων
there-was and expectation of-war Sabines and Latins
συνισταμένων. καί τις ἅμα δεισιδαιμονία τῆς πόλεως
combining and a-certain at-once superstition the city
ἥψατο· πᾶσαι γὰρ αἱ κυοῦσαι τότε γυναῖκες ἐξέβαλλον
laid-hold-of all for the pregnant then women cast-forth
ἀνάπηρα, καὶ τέλος οὐδεμία γένεσις ἔσχεν. ὅθεν ἐκ
maimed(-offspring) and full-term no birth had whence from
τῶν Σιβυλλείων ὁ Ποπλικόλας ἱλασάμενος τῷ Ἅιδῃ καί
the Sibylline(-books) — Publicola having-propitiated — Hades and
τινας ἀγῶνας πυθοχρήστους ἀναλαβὼν καὶ ταῖς ἐλπίσι
some games pythian-ordained having-renewed and with-the hopes
πρὸς τὸ θεῖον ἡδίονα καταστήσας τὴν πόλιν, ἤδη
toward the divine more-cheerful having-made the city now

τοῖς ἀπ᾽ ἀνθρώπων φοβεροῖς προσεῖχε. μεγάλη γὰρ
to-the(-things) from men fearful attended great for
ἐφαίνετο κατασκευὴ τῶν πολεμίων καὶ σύστασις.
appeared preparation of-the enemies and combination
Ἦν οὖν Ἄππιος Κλαῦσος ἐν Σαβίνοις, ἀνὴρ χρήμασί
there-was then Appius Clausus among Sabines a-man in-wealth
τε δυνατὸς καὶ σώματος ῥώμῃ πρὸς ἀλκὴν ἐπιφανής,
both powerful and of-body in-strength for prowess notable
ἀρετῆς δὲ δόξῃ μάλιστα καὶ λόγου δεινότητι πρωτεύων.
of-virtue but in-reputation most and of-speech in-ability foremost
ὃ δὲ πᾶσι συμβαίνει τοῖς μεγάλοις οὐ διέφυγε παθεῖν,
what and to-all happens the great not he-escaped to-suffer
ἀλλ᾽ ἐφθονεῖτο· καὶ τοῖς φθονοῦσιν αἰτίαν παρέσχε
but he-was-envied and to-the envious occasion gave
καταπαύων τὸν πόλεμον αὔξειν τὰ Ῥωμαίων, ἐπὶ
stopping the war to-increase the(-power) of-Romans for
τυραννίδι καὶ δουλώσει τῆς πατρίδος. αἰσθόμενος δὲ τοὺς
tyranny and enslavement of-the fatherland having-perceived and the
λόγους τούτους βουλομένῳ τῷ πλήθει λεγομένους, καὶ
words these wishing to-the multitude being-spoken and
προσκρούοντα τοῖς πολεμοποιοῖς καὶ στρατιωτικοῖς ἑαυτόν,
offending the war-makers and soldiers himself
ἐφοβεῖτο τὴν κρίσιν. ἑταιρείαν δὲ καὶ δύναμιν φίλων καὶ
he-feared the trial a-faction and and power of-friends and
οἰκείων ἔχων ἀμύνουσαν περὶ αὑτὸν ἐστασίαζε. καὶ τοῦτ᾽
relatives having defending(-him) about himself he-formed-a-faction and this
ἦν τοῦ πολέμου διατριβὴ καὶ μέλλησις τοῖς Σαβίνοις.
was of-the war delay and postponement for-the Sabines
Ταῦτ᾽ οὖν ὁ Ποπλικόλας οὐ μόνον εἰδέναι ποιούμενος
these-things then — Publicola not only to-know making
ἔργον, ἀλλὰ καὶ κινεῖν καὶ συνεξορμᾶν τὴν στάσιν, εἶχεν
a-task but also to-stir and to-incite the faction he-had

ἄνδρας ἐπιτηδείους οἳ τῷ Κλαύσῳ διελέγοντο παρ᾽ αὐτοῦ
men suitable who — with-Clausus conversed from him
τοιαῦτα, ὡς ὁ Ποπλικόλας ἄνδρα σε χρηστὸν ὄντα καὶ
such(-things) that — Publicola a-man you good being and
δίκαιον οὐδενὶ κακῷ δεῖν οἴεται τοὺς σεαυτοῦ πολίτας
just by-no evil it-needful thinks the of-yourself citizens
ἀμύνεσθαι, καίπερ ἀδικούμενον· εἰ δὲ βούλοιο σώζων
to-requite although wronged if but you-should-wish saving
ἑαυτὸν μεταστῆναι καὶ φυγεῖν τοὺς μισοῦντας, ὑποδέξεταί
yourself to-move and to-flee those hating(-you) he-will-receive
σε δημοσίᾳ καὶ ἰδίᾳ τῆς τε σῆς ἀρετῆς ἀξίως καὶ τῆς
you publicly and privately of-the both your virtue worthily and of-the
Ῥωμαίων λαμπρότητος. ταῦτα πολλάκις ἀνασκοποῦντι
of-Romans splendor these-things often considering
τῷ Κλαύσῳ βέλτιστα τῶν ἀναγκαίων ἐφαίνετο, καὶ
— to-Clausus best of-the necessary(-courses) appeared and
τοὺς φίλους συμπαρακαλῶν, ἐκείνων τε πολλοὺς ὁμοίως
the friends summoning of-those both many likewise
συναναπειθόντων, πεντακισχιλίους οἴκους ἀναστήσας μετὰ
joining-in-persuading five-thousand households having-removed with
παίδων καὶ γυναικῶν, ὅπερ ἦν ἐν Σαβίνοις ἀθόρυβον
children and wives which was among Sabines unturbulent
μάλιστα καὶ βίου πρᾴου καὶ καθεστῶτος οἰκεῖον, εἰς Ῥώμην
most and of-life gentle and settled akin to Rome
ἦγε, προειδότος τοῦ Ποπλικόλα καὶ δεχομένου φιλοφρόνως
he-led knowing-beforehand — Publicola and receiving(-them) kindly
καὶ προθύμως ἐπὶ πᾶσι δικαίοις. τοὺς μὲν γὰρ οἴκους
and eagerly on all rights the indeed for households
εὐθὺς ἀνέμιξε τῷ πολιτεύματι, καὶ χώραν ἀπένειμεν
at-once he-mingled with-the citizen-body and land assigned
ἑκάστῳ δυεῖν πλέθρων περὶ τὸν Ἀνίωνα ποταμόν, τῷ δὲ
to-each of-two plethra by the Anio river — and

Κλαύσῳ πλέθρα πέντε καὶ εἴκοσι γῆς ἔδωκεν, αὐτὸν δὲ
to-Clausus plethra five and twenty of-land he-gave him and
τῇ βουλῇ προσέγραψεν, ἀρχὴν πολιτείας λαμβάνοντα
to-the senate he-enrolled beginning of-a-political-career taking
ταύτην, ᾗ χρώμενος ἐμφρόνως ἀνέδραμεν εἰς τὸ πρῶτον
this which using wisely he-ran-up to the first
ἀξίωμα καὶ δύναμιν ἔσχε μεγάλην, καὶ γένος οὐδενὸς
rank and power had great and a-family than-none
ἀμαυρότερον ἐν Ῥώμῃ τὸ Κλαυδίων ἀφ' αὑτοῦ κατέλιπε.
more-obscure in Rome the of-Claudii from himself left
Τὰ δὲ Σαβίνων οὕτω διακριθέντα τῷ μετοικισμῷ 22
the(-affairs) and of-Sabines so decided by-the migration
τῶν ἀνδρῶν, οὐκ εἴασαν οἱ δημαγωγοῦντες ἀτρεμῆσαι
of-the men not allowed the demagogues to-be-quiet
καὶ καταστῆναι, σχετλιάζοντες εἰ Κλαῦσος ἃ παρὼν
and to-be-settled complaining-bitterly if Clausus what present
οὐκ ἔπεισε διαπράξεται φυγὰς γενόμενος καὶ πολέμιος,
not he-persuaded shall-accomplish exile having-become and enemy
μὴ δοῦναι δίκην Ῥωμαίους ὧν ὑβρίζουσιν. ἅραντες
not to-pay penalty Romans for-what they-outrage having-set-out
οὖν στρατῷ μεγάλῳ περὶ Φιδήνας κατηυλίσαντο, καί
then with-army great near Fidenae they-encamped and
τινα λόχον θέμενοι πρὸ τῆς Ῥώμης ἐν χωρίοις
a-certain ambush having-placed before — Rome in places
συνηρεφέσι καὶ κοίλοις δισχιλίους ὁπλίτας, ἔμελλον
covered and hollow two-thousand hoplites they-were-going
ἅμ' ἡμέρᾳ φανερῶς ὀλίγοις ἱππεῦσι λείαν ἐλαύνειν.
together-with day openly with-few horsemen booty to-drive
εἴρητο δ' αὐτοῖς, ὅταν τῇ πόλει προσελάσωσιν,
it-had-been-told and to-them when to-the city they-ride-up
ὑποφεύγειν ἕως ἐμβάλωσιν εἰς τὴν ἐνέδραν τοὺς πολεμίους·
to-retreat until they-draw into the ambush the enemies

ταῦθ' ὁ Ποπλικόλας αὐθημερὸν πυθόμενος παρ'
these(-things) — Publicola that-same-day having-learned from
αὐτομόλων ταχὺ διηρμόσατο πρὸς πάντα καὶ διένειμε
deserters quickly arranged for all and distributed
τὴν δύναμιν. Ποστούμιος μὲν γὰρ Βάλβος ὁ γαμβρὸς
the force Postumius indeed for Balbus the son-in-law
αὐτοῦ τρισχιλίοις ὁπλίταις ἑσπέρας ἔτι προελθὼν καὶ
his with-three-thousand hoplites in-the-evening still having-gone-forward and
καταλαβὼν τοὺς ἀκρολόφους, ὑφ' οἷς ἐνήδρευον οἱ
having-seized the billtops under which were-lying-in-ambush the
Σαβῖνοι, παρεφύλαττεν· ὁ δὲ συνάρχων Λουκρήτιος ἔχων
Sabines kept-watch the and colleague Lucretius having
τὸ κουφότατον ἐν τῇ πόλει καὶ γενναιότατον ἐτάχθη τοῖς
the lightest(-armed) in the city and noblest was-ordered the
ἐλαύνουσι τὴν λείαν ἱππεῦσιν ἐπιχειρεῖν, αὐτὸς δὲ τὴν
driving the booty horsemen to-attack he-himself and the
ἄλλην ἀναλαβὼν στρατιὰν κύκλῳ περιῆλθε τοὺς πολεμίους.
rest having-taken-up army in-a-circle went-round the enemies
καὶ κατὰ τύχην ὁμίχλης βαθείας ἐπιπεσούσης, περὶ ὄρθρον
and by chance mist deep having-fallen about dawn
ἅμα Ποστούμιός τε τοὺς ἐνεδρεύοντας ἐμβοήσας ἔβαλεν
at-once Postumius both the(-men) in-ambush having-shouted attacked
ἀπὸ τῶν ἄκρων, καὶ τοῖς προϊππασαμένοις ἐφῆκε τοὺς
from the heights and on-the(-ones) having-ridden-forward let-loose the(-men)
περὶ αὐτὸν ὁ Λουκρήτιος, καὶ Ποπλικόλας προσέβαλε τοῖς
about him — Lucretius and Publicola fell-upon the
στρατοπέδοις τῶν πολεμίων. πάντη μὲν οὖν ἐκακοῦτο
camps of-the enemies everywhere indeed then were-being-ruined
τὰ Σαβίνων καὶ διεφθείρετο· τοὺς δ' ἐνταῦθα μηδ'
the(-forces) of-Sabines and were-being-destroyed the and there not-even
ἀμυνομένους, ἀλλὰ φεύγοντας, εὐθὺς ἔκτεινον οἱ Ῥωμαῖοι,
defending-themselves but fleeing at-once killed the Romans

τῆς ἐλπίδος αὐτοῖς ὀλεθριωτάτης γενομένης. σώζεσθαι γὰρ
the hope to-them most-ruinous having-been to-be-saved for
οἰόμενοι τοὺς ἑτέρους οἱ ἕτεροι τῷ μάχεσθαι καὶ μένειν
thinking the others the others by-the to-fight and to-stand
οὐ προσεῖχον, ἀλλ' οἱ μὲν ἐκ τῶν ἐρυμάτων πρὸς
not attended but the(-ones) indeed from the defenses toward
τοὺς ἐνεδρεύοντας, οἱ δὲ πάλιν ὡς ἐκείνους εἰς τὸ
the(-men) in-ambush the(-others) and in-turn to those to the
στρατόπεδον θέοντες ἐναντίοι φεύγουσιν ἐνέπιπτον πρὸς
camp running opposite to-those-fleeing fell-upon toward
οὓς ἔφευγον καὶ βοηθείας δεομένοις οὓς ἤλπιζον αὐτοῖς
whom they-fled and help needing whom they-hoped them
βοηθήσειν. τὸ δὲ μὴ πάντας ἀπολέσθαι τοὺς Σαβίνους,
to-help the and not all to-have-perished the Sabines
ἀλλὰ καὶ περιγενέσθαι τινὰς ἡ Φιδηνατῶν πόλις ἐγγὺς
but also to-have-survived some the of-Fidenates city near
οὖσα παρέσχε, καὶ μάλιστα τοῖς ἐκ τῶν στρατοπέδων, ὅθ'
being afforded and most to-those from the camps when
ἡλίσκετο, διεκπίπτουσιν. ὅσοι δὲ Φιδηνῶν διήμαρτον
it-was-being-taken escaping as-many-as but Fidenae missed
διεφθάρησαν ἢ ζῶντες ἀπήχθησαν ὑπὸ τῶν λαβόντων.
perished or alive were-led-away by those having-taken(-them)
Τοῦτο τὸ κατόρθωμα Ῥωμαῖοι, καίπερ εἰωθότες ἅπασι 23
this the success Romans although being-accustomed to-all
τοῖς μεγάλοις ἐπιφημίζειν τὸ δαιμόνιον, ἑνὸς ἔργον
the great(-things) to-ascribe the divine of-one work
ἡγοῦντο τοῦ στρατηγοῦ γεγονέναι. καὶ τῶν μεμαχημένων
thought of-the general to-have-been and of-those having-fought
πρῶτον ἦν ἀκούειν ὅτι χωλοὺς καὶ τυφλοὺς αὐτοῖς καὶ
the-first(-thing) was to-hear that lame and blind to-them and
μόνον οὐ καθείρξας τοὺς πολεμίους Ποπλικόλας παρέδωκε
only not having-shut-up the enemies Publicola handed-over

χρῆσθαι τοῖς ξίφεσιν. ἐρρώσθη δὲ καὶ χρήμασιν ὁ
to-use the swords was-strengthened and also in-money the
δῆμος ἐκ τῶν λαφύρων καὶ τῶν αἰχμαλώτων.
people from the spoils and the prisoners
Ὁ δὲ Ποπλικόλας τόν τε θρίαμβον ἀγαγὼν καὶ
— and Publicola the both triumph having-led and
τοῖς μετ᾽ αὐτὸν ἀποδειχθεῖσιν ὑπάτοις παραδοὺς τὴν
to-the after him appointed consuls having-handed-over the
πόλιν εὐθὺς ἐτελεύτησεν, ὡς ἐφικτόν ἐστιν ἀνθρώποις
city at-once died as possible it-is for-men
μάλιστα τοῖς νενομισμένοις καλοῖς καὶ ἀγαθοῖς, τὸν
most the considered noble and good(-things) the
ἑαυτοῦ βίον ἐκτελειώσας. ὁ δὲ δῆμος ὥσπερ οὐδὲν εἰς
his-own life having-completed the and people as-if nothing to
ζῶντα τῶν ἀξίων πεποιηκώς, ἀλλὰ πᾶσαν ὀφείλων
him-living of-the worthy(-things) having-done but all owing
χάριν, ἐψηφίσατο δημοσίᾳ ταφῆναι τὸ σῶμα, καὶ
gratitude voted at-public(-expense) to-be-buried the body and
τεταρτημόριον ἕκαστον ἐπὶ τιμῇ συνεισενεγκεῖν. αἱ δὲ
a-quarter-obol each for honor to-contribute the and
γυναῖκες, ἰδίᾳ πρὸς αὑτὰς συμφρονήσασαι, διεπένθησαν
women privately among themselves having-agreed mourned
ἐνιαυτὸν ὅλον ἐπὶ τῷ ἀνδρὶ πένθος ἔντιμον καὶ ζηλωτόν.
a-year whole for the man a-mourning honorable and enviable
ἐτάφη δὲ καὶ οὕτως τῶν πολιτῶν ψηφισαμένων ἐντὸς
he-was-buried and also so the citizens having-voted within
ἄστεος παρὰ τὴν καλουμένην Οὐελίαν, ὥστε καὶ γένει
the-city by the so-called Velia so-that also to-the-family
παντὶ τῆς ταφῆς μετεῖναι. νῦν δὲ θάπτεται μὲν οὐδεὶς τῶν
whole of-the burial to-share now but is-buried indeed no-one of-those
ἀπὸ γένους, κομίσαντες δὲ τὸν νεκρὸν ἐκεῖ κατατίθενται
from the-family having-carried and the corpse there they-set(-it)-down

καὶ δᾷδά τις ἡμμένην λαβὼν ὅσον ὑπήνεγκεν, εἶτα
and a-torch someone lighted having-taken as-much-as he-held-under then
ἀναιρεῖται, μαρτυρόμενος ἔργῳ τὸ ἐξεῖναι, φείδεσθαι δὲ
takes(-it)-away testifying by-deed the to-be-permitted to-refrain but
τῆς τιμῆς, καὶ τὸν νεκρὸν οὕτως ἀποκομίζουσιν.
from-the honor and the corpse so they-carry-away

PLUTARCH

ΣΟΛΩΝΟΣ ΚΑΙ ΠΟΠΛΙΚΟΛΑ ΣΥΓΚΡΙΣΙΣ

Comparison of Solon and Publicola

Solon's verdict on happiness fits Publicola better than Tellus: he was honored living, his family endured, and he died mourned and rich in good use of wealth. Publicola followed Solon's laws, gave the people appeal, and created quaestors, but was more severe against tyranny. Solon's cancellation of debts was his own glory; Publicola's government lasted, while Solon lived to see his overthrown. Publicola's wars and his yielding of land to Porsena served Rome.

Ἆρ᾽ οὖν ἴδιόν τι περὶ ταύτην τὴν σύγκρισιν ὑπάρχει 1
is-it then peculiar anything about this the comparison exists
καὶ μὴ πάνυ συμβεβηκὸς ἑτέρᾳ τῶν ἀναγεγραμμένων,
and not at-all having-occurred to-another of-the(-ones) written-up
τὸν ἕτερον γεγονέναι μιμητὴν τοῦ ἑτέρου, τὸν ἕτερον δὲ
the one to-have-been imitator of-the other the other and
μάρτυν; ὅρα γὰρ ἣν ὁ Σόλων ἐξήνεγκε περὶ εὐδαιμονίας
witness see for which — Solon delivered about happiness
ἀπόφασιν πρὸς Κροῖσον, ὡς Ποπλικόλᾳ μᾶλλον ἢ
pronouncement to Croesus how to-Publicola rather than
Τέλλῳ προσήκει· Τέλλου μὲν γάρ, ὃν εἶπε γεγονέναι
to-Tellus it-belongs of-Tellus indeed for whom he-said to-have-been
μακαριώτατον δι᾽ εὐποτμίαν καὶ ἀρετὴν καὶ εὐτεκνίαν,
most-blessed through good-fortune and virtue and good-children
οὔτ᾽ αὐτὸς ἐν τοῖς ποιήμασιν ὡς ἀνδρὸς ἀγαθοῦ λόγον ἔσχεν
neither himself in the poems as of-a-man good mention had
οὔτε παῖδες οὔτ᾽ ἀρχή τις εἰς δόξαν ἦλθεν· Ποπλικόλας
nor children nor office any into fame came Publicola
δὲ καὶ ζῶν ἐπρώτευσε δυνάμει καὶ δόξῃ δι᾽ ἀρετὴν
but both living was-first in-power and in-fame through virtue
Ῥωμαίων, καὶ τεθνηκότος ἐν τοῖς ἐπιφανεστάτοις γένεσι
of-Romans and having-died in the most-illustrious families
καὶ στέμμασιν ἔτι καθ᾽ ἡμᾶς Ποπλικόλαι καὶ Μεσσάλαι
and lineages still in our(-time) Publicolae and Messallae

καὶ Οὐαλλέριοι δι᾽ ἐτῶν ἑξακοσίων τῆς εὐγενείας τὴν
and Valerii through years six-hundred of-the noble-birth the
δόξαν ἀναφέρουσι. καὶ Τέλλος μὲν ὑπὸ τῶν πολεμίων ὡς
glory trace(-back) and Tellus indeed by the enemies as
ἀνὴρ ἀγαθὸς ἐν τάξει μένων καὶ μαχόμενος κατέστρεψε·
a-man good in rank remaining and fighting ended
Ποπλικόλας δὲ τοὺς μὲν πολεμίους κτείνας, ὃ τοῦ
Publicola but the indeed enemies having-killed which than-the
πεσεῖν εὐτυχέστερόν ἐστι, τὴν δὲ πατρίδα νικῶσαν ἐπιδὼν
to-fall more-fortunate is the and fatherland victorious having-seen
δι᾽ αὐτὸν ἄρχοντα καὶ στρατηγοῦντα, τιμηθεὶς δὲ
through him ruling and commanding having-been-honored and
καὶ θριαμβεύσας ἔτυχε τῆς ζηλουμένης ὑπὸ Σόλωνος καὶ
and having-triumphed obtained the envied by Solon and
μακαριζομένης τελευτῆς. ἔτι τοίνυν οἷς πρὸς
blessed end further then with-what(-lines) to
Μίμνερμον ἀντειπὼν περὶ χρόνου ζωῆς ἐπιπεφώνηκε,
Mimnermus having-replied about length of-life he-has-exclaimed

Μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισι
Nor to-me unwept death may-come but for-friends
ποιήσαιμι θανὼν ἄλγεα καὶ στοναχάς
may-I-make having-died pains and groans

εὐδαίμονα τὸν Ποπλικόλαν ἄνδρα ποιεῖ. τελευτήσας γὰρ
happy — Publicola man he-makes having-died for
οὐ φίλοις οὐδ᾽ οἰκείοις μόνον, ἀλλὰ τῇ πόλει πάσῃ,
not for-friends nor relatives only but for-the city whole
μυριάσι πολλαῖς, δάκρυα καὶ πόθον καὶ κατήφειαν ἐφ᾽
for-ten-thousands many tears and longing and dejection for
αὑτῷ παρέσχεν· αἱ γὰρ Ῥωμαίων γυναῖκες ἐπένθησαν αὐτὸν
himself he-caused the for of-Romans women mourned him

ὥσπερ υἱὸν ἢ ἀδελφὸν ἢ πατέρα κοινὸν ἀποβαλοῦσαι.
as-if a-son or brother or father common having-lost
"Χρήματα δ' ἰμείρω μὲν ἔχειν," φησὶν ὁ Σόλων,
riches and I-long indeed to-have says — Solon
"ἀδίκως δὲ πεπᾶσθαι οὐκ ἐθέλω," ὡς δίκης ἐπιούσης·
unjustly but to-have-acquired not I-wish as justice coming
Ποπλικόλᾳ δ' ὑπῆρχεν οὐ μόνον μὴ κακῶς πλουτεῖν,
for-Publicola and it-belonged not only not badly to-be-rich
ἀλλὰ καὶ καλῶς ἀναλίσκειν εὖ ποιοῦντι τοὺς δεομένους.
but also nobly to-spend well doing the needy
ὥστ' εἰ σοφώτατος ἁπάντων ὁ Σόλων, εὐδαιμονέστατος
so-that if wisest of-all — Solon happiest
ὁ Ποπλικόλας. ἃ γὰρ εὔξατο τῶν ἀγαθῶν ἐκεῖνος ὡς
— Publicola what for prayed-for of-the goods he as
μέγιστα καὶ κάλλιστα, ταῦτα καὶ κτήσασθαι Ποπλικόλᾳ
greatest and noblest these-things both to-acquire for-Publicola
καὶ φυλάξαι χρωμένῳ μέχρι τέλους ὑπῆρξεν.
and to-keep using(-them) until the-end it-befell
Οὕτω μὲν ὁ Σόλων κεκόσμηκε τὸν Ποπλικόλαν, 2
so indeed — Solon has-adorned — Publicola
τὸν Σόλωνα δ' αὖ πάλιν ἐκεῖνος ἐν τῇ πολιτείᾳ
— Solon and in-turn again he in the constitution
παραδειγμάτων κάλλιστον ἀνδρὶ κοσμοῦντι δημοκρατίαν
of-examples the-noblest for-a-man ordering democracy
θέμενος· τῆς μὲν γὰρ ἀρχῆς τὸν ὄγκον ἀφελὼν εὐμενῆ
having-made the indeed for of-office the pomp having-removed kindly
πᾶσι καὶ ἄλυπον κατέστησε, νόμοις δὲ πολλοῖς ἐχρήσατο
to-all and inoffensive he-made laws and many he-used
τῶν ἐκείνου. καὶ γὰρ ἀρχόντων καταστάσεως κυρίους
of-the his and for of-magistrates appointment masters
ἐποίησε τοὺς πολλούς, καὶ τοῖς φεύγουσι δίκην ἐπικαλεῖσθαι
made the many and to-those defending a-suit to-appeal

τὸν δῆμον, ὥσπερ ὁ Σόλων τοὺς δικαστάς, ἔδωκε. καὶ
to-the people as — Solon to-the jurors granted and
βουλὴν μὲν ἑτέραν οὐκ ἐποίησεν, ὥσπερ ὁ Σόλων, τὴν
a-council indeed another not he-made as — Solon the
δ' οὖσαν ηὔξησεν ἀριθμῷ μικροῦ διπλασιάσας. ἥ τε τῶν
but existing increased in-number nearly having-doubled(-it) the and of-the
ταμιῶν ἐπὶ τοῖς χρήμασι κατάστασις ἐκεῖθεν ἦλθεν, ὅπως
quaestors over the money establishment from-there came so-that
ὁ ἄρχων μήτ' εἰ χρηστός ἐστιν ἀσχολίαν ἔχῃ πρὸς τὰ
the magistrate neither if good he-is distraction should-have for the
μείζω, μήτ' εἰ φαῦλος ἀφορμὰς τοῦ ἀδικεῖν μᾶλλον,
greater(-things) nor if bad resources for-the to-do-wrong more
καὶ τῶν πράξεων καὶ τῶν χρημάτων κύριος γενόμενος. τὸ
both of-the business and of-the money master having-become the
δὲ μισοτύραννον ἐν τῷ Ποπλικόλᾳ σφοδρότερον. εἰ γάρ
and hatred-of-tyranny in — Publicola more-vehement if for
τις ἐπιχειροίη τυραννεῖν, ὁ μὲν ἁλόντι τὴν δίκην
anyone should-attempt to-be-tyrant the(-one) indeed to-him-convicted the penalty
ἐπιτίθησιν, ὁ δὲ καὶ πρὸ τῆς κρίσεως ἀνελεῖν δίδωσι.
imposes the(-other) but even before the trial to-kill allows
σεμνυνομένου δὲ τοῦ Σόλωνος ὀρθῶς καὶ δικαίως ὅτι καὶ
priding-himself and — Solon rightly and justly that even
τῶν πραγμάτων αὐτῷ διδόντων τυραννεῖν καὶ τῶν πολιτῶν
the affairs to-him granting to-be-tyrant and the citizens
οὐκ ἀκουσίως δεχομένων ἀπεῖπεν, οὐχ ἧττον ὑπάρχει καλὸν
not unwillingly accepting(-it) he-refused no less it-belongs noble
τῷ Ποπλικόλᾳ τὸ λαβόντα τυραννικὴν ἀρχὴν ποιῆσαι
— to-Publicola the having-received a-tyrannical office to-make(-it)

δημοτικωτέραν καὶ μηδ' οἷς ἐξῆν ἔχοντα χρήσασθαι. καὶ
more-democratic and not-even what was-allowed having to-use also
τοῦτο δ' ἔοικε συνιδεῖν πρότερος ὁ Σόλων, ὅτι δῆμος
this and seems to-have-perceived earlier — Solon that a-people

ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
thus — best with leaders would-follow
μήτε λίην ἀνεθεὶς μήτε πιεζόμενος.
neither too-much let-loose nor oppressed

Ἴδιον δὲ τοῦ Σόλωνος ἡ τῶν χρεῶν ἄνεσις, ᾗ 3
peculiar and — of-Solon the of-the debts remission by-which
μάλιστα τὴν ἐλευθερίαν ἐβεβαίωσε τοῖς πολίταις. οὐδὲν
most the freedom he-confirmed for-the citizens no
γὰρ ὄφελος νόμων ἰσότητα παρεχόντων, ἣν ἀφαιρεῖται
for benefit of-laws equality providing which takes-away
τὰ χρέα τοὺς πένητας· ἀλλ' ὅπου μάλιστα χρῆσθαι
the debts from-the poor but where most to-use
τῇ ἐλευθερίᾳ δοκοῦσι, δουλεύουσι μάλιστα τοῖς πλουσίοις,
the freedom they-seem they-are-slaves most to-the rich
ἐν τῷ δικάζειν καὶ ἄρχειν καὶ λέγειν ἐπιταττόμενοι καὶ
in the to-judge and to-rule and to-speak being-ordered and
ὑπηρετοῦντες. τούτου δὲ μεῖζον, ὅτι πάσῃ χρεῶν ἀποκοπῇ
serving than-this and greater that upon-every of-debts cancellation
στάσεως ἑπομένης, ἐκείνῃ μόνῃ, καθάπερ φαρμάκῳ
faction following that alone as-if a-drug
παραβόλῳ μέν, ἰσχυρῷ δὲ χρησάμενος εὐκαίρως, καὶ τὴν
dangerous indeed strong but having-used opportunely even the
οὖσαν στάσιν ἔλυσε, τῇ περὶ αὐτὸν ἀρετῇ καὶ δόξῃ
existing faction he-dissolved by-the about him virtue and reputation
τῆς τοῦ πράγματος ἀδοξίας καὶ διαβολῆς περιγενόμενος.
of-the of-the measure disrepute and slander having-prevailed-over

Τῆς δ' ὅλης πολιτείας τῇ μὲν ἀρχῇ λαμπρότερος ὁ
of-the and whole constitution in-the indeed beginning more-brilliant —
Σόλων· ἡγήσατο γὰρ καὶ οὐκ ἠκολούθησε, καὶ καθ' αὑτόν,
Solon he-led for and not followed and by himself
οὐ μεθ' ἑτέρων, ἔπραξε τὰ πλεῖστα καὶ μέγιστα τῶν
not with others did the most and greatest of-the
κοινῶν· τῷ τέλει δὲ ἄτερος εὐτυχὴς καὶ ζηλωτός.
public(-affairs) in-the end but the-other(-one) fortunate and enviable
τὴν μὲν γὰρ Σόλωνος πολιτείαν αὐτὸς ἐπεῖδε Σόλων
the indeed for of-Solon constitution himself saw Solon
καταλυθεῖσαν, ἡ δὲ Ποπλικόλα μέχρι τῶν ἐμφυλίων
dissolved the but of-Publicola until the civil
πολέμων διεφύλαξεν ἐν κόσμῳ τὴν πόλιν· ὁ μὲν γὰρ
wars kept in order the city the(-one) indeed for
ἅμα τῷ θέσθαι τοὺς νόμους ἀπολιπὼν ἐν ξύλοις καὶ
at-once with-the to-establish the laws having-left(-them) on wood and
γράμμασιν ἐρήμους τοῦ βοηθοῦντος ᾤχετ' ἀπιὼν ἐκ
letters bereft of-the(-one) helping went departing from
τῶν Ἀθηνῶν, ὁ δὲ μένων καὶ ἄρχων καὶ πολιτευόμενος
— Athens the(-other) but remaining and ruling and engaging-in-politics
ἵδρυσε καὶ κατέστησεν εἰς ἀσφαλὲς τὴν πολιτείαν. ἔτι
founded and established into safety the constitution further
δ' ἐκείνῳ μὲν οὐδὲ μέλλοντα κωλῦσαι προαισθομένῳ
and to-that(-man) indeed not-even going-to(-be) to-prevent foreseeing
Πεισίστρατον ὑπῆρξεν, ἀλλ' ἡττήθη συνισταμένης τῆς
Peisistratus it-was-possible but he-was-defeated forming the
τυραννίδος· οὗτος δὲ βασιλείαν ἰσχύουσαν ἐκ πολλῶν
tyranny this(-man) and a-monarchy strong from many
χρόνων ἤδη καὶ κρατοῦσαν ἐξέβαλε καὶ κατέλυσεν, ἀρετὴν
times already and prevailing threw-out and dissolved virtue

μὲν ἴσην καὶ προαίρεσιν ὁμοίαν παρασχόμενος, τύχῃ
indeed equal and choice similar having-shown with-fortune
δὲ καὶ δυνάμει τελεσιουργῷ πρὸς τὴν ἀρετὴν χρησάμενος.
but and power effective toward the virtue having-used
Τῶν μέντοι πολεμικῶν Σόλωνι μὲν οὐδὲ τὰ πρὸς 4
of-the however warlike(-deeds) for-Solon indeed not-even the(-ones) against
Μεγαρεῖς Δαΐμαχος ὁ Πλαταιεὺς μεμαρτύρηκεν, ὥσπερ
Megarians Daimachus the Plataean has-attested as
ἡμεῖς διεληλύθαμεν· Ποπλικόλας δὲ τοὺς μεγίστους ἀγῶνας
we have-related Publicola but the greatest contests
αὐτὸς καὶ μαχόμενος καὶ στρατηγῶν κατώρθωσε. καὶ μὴν
himself both fighting and commanding succeeded-in and indeed
ἔτι πρὸς τὰς πολιτικὰς πράξεις ὁ μὲν ἐν παιδιᾶς τινι
further toward the political actions the(-one) indeed in of-play some
τρόπῳ καὶ προσποίημα μανίας ἀναλαβών, ὑπὲρ Σαλαμῖνος
manner and pretense of-madness having-assumed for Salamis
ἐρῶν προῆλθεν· ὁ δ' αὐτόθεν ἀναρρίψας τὸν περὶ
going-to-speak came-forward the(-other) but at-once having-hazarded the about
τῶν μεγίστων κίνδυνον ἐπανέστη τε Ταρκυνίοις καὶ τὴν
the greatest(-things) danger rose-up both against-Tarquins and the
προδοσίαν ἐφώρασε· καὶ τοῦ κολασθῆναι καὶ μὴ διαφυγεῖν
treason detected and of-the to-be-punished and not to-escape
τοὺς πονηροὺς αἰτιώτατος γενόμενος οὐ τὰ σώματα μόνον
the wicked most-responsible having-been not the bodies only
τῶν τυράννων ἐξέβαλε τῆς πόλεως, ἀλλὰ καὶ τὰς ἐλπίδας
of-the tyrants he-threw-out of-the city but also the hopes
ἐξέκοψεν. οὕτω δὲ τοῖς δεχομένοις πράγμασιν ἀγῶνα καὶ
he-cut-off so and for-the requiring affairs struggle and
θυμὸν καὶ ἀντίταξιν ἐρρωμένως καὶ ἀτενῶς ἀπαντήσας,
spirit and resistance vigorously and intently having-met
ἔτι βέλτιον ἐχρήσατο τοῖς ὁμιλίας ἀπολέμου καὶ πειθοῦς
still better he-used(-it) for-those of-converse peaceful and persuasion

ὑπεικούσης δεομένοις, Πορσίναν ἄμαχον ἄνδρα καὶ φοβερὸν
yielding needing Porsena an-invincible man and fearsome
ἐμμελῶς προσαγαγόμενος καὶ μεταστήσας εἰς φιλίαν.
skillfully having-won-over and having-changed into friendship
Καίτοι φήσει τις ἐνταῦθα τὸν μὲν Σόλωνα προεμένοις
and-yet will-say someone here — indeed Solon having-given(-it)-up
ἀναλαβεῖν Ἀθηναίοις Σαλαμῖνα, τὸν δὲ Ποπλικόλαν ἧς
to-recover for-Athenians Salamis — but Publicola which
ἐκέκτηντο Ῥωμαῖοι χώρας ἀποστῆναι. δεῖ δὲ πρὸς
possessed Romans territory to-have-ceded it-is-needful but in-relation-to
τοὺς ὑποκειμένους καιροὺς τὰς πράξεις θεωρεῖν. ποικίλος
the underlying circumstances the actions to-consider versatile
γὰρ ὢν ὁ πολιτικὸς ᾧ τρόπῳ τῶν ὄντων ἕκαστον
for being the statesman in-which way of-the(-things) existing each
εὔληπτόν ἐστι μεταχειρίσεται, καὶ μέρους ἀφέσει πολλάκις
easy-to-grasp is will-handle(-it) and by-a-part's surrender often
ἔσωσε τὸ πᾶν καὶ μικρῶν ἀποστὰς μειζόνων ἔτυχεν,
has-saved the whole and small(-things) having-given-up greater has-gained
ὥσπερ ἐκεῖνος ὁ ἀνὴρ τότε τῆς μὲν ἀλλοτρίας χώρας
as that the man then the indeed others' land
ἀποστὰς ἔσωσε τὴν ἑαυτοῦ βεβαίως ἅπασαν, οἷς δ'
having-given-up saved the his-own securely all to-whom and
ἦν μέγα τὴν πόλιν διαφυλάξαι προσεκτήσατο τὸ τῶν
was a-great(-thing) the city to-preserve he-acquired-besides the of-the
πολιορκούντων στρατόπεδον, ἐπιτρέψας δὲ τῷ πολεμίῳ
besiegers camp having-entrusted and to-the enemy
δικαστῇ γενέσθαι, καὶ περιγενόμενος τῇ δίκῃ, προσέλαβεν
judge to-be and having-prevailed in-the suit he-gained-besides
ὅσα δόντας ἀγαπητὸν ἦν νικῆσαι· καὶ γὰρ
as-much-as having-given contented it-would-have-been to-conquer and for
τὸν πόλεμον διέλυσε καὶ τὴν παρασκευὴν τοῦ πολέμου
the war he-ended and the equipment of-the war

κατέλιπεν αὐτοῖς διὰ πίστιν ἀρετῆς καὶ καλοκαγαθίας,
left to-them through confidence in-virtue and nobility
ἣν ὁ ἄρχων ὑπὲρ ἁπάντων ἐνεποίησεν αὐτῷ.
which the magistrate on-behalf-of all produced in-him
